1314

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

ΕΚΔΟΘΕΙΣΑ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΜΙΣΤΡΙΩΤΟΥ

Τακτικοῦ καθηγητοῦ τῶν ἑλληνικῶν γραμμάτων ἐν τῷ
Ἐθνικῷ Πανεπιστημίῳ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΤΕΥΧΟΣ ΠΡΩΤΟΝ

Η—Κ

ΑΘΗΝΗΣΙ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΠΑΛΙΓΓΕΝΕΣΙΑΣ

72 — Ὁδὸς Βορρᾶ — 72

1880

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΓΑΛΑΤΑΣΤΗ

BIBLIOTECA
CENTRAL

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

ΕΚΔΟΘΕΙΣΑ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΜΙΣΤΡΙΩΤΟΥ

Ταχτικοῦ καθηγητοῦ τῶν ἑλληνικῶν γραμμάτων ἐν τῷ
Ἐθνικῷ Πανεπιστημίῳ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΤΕΥΧΟΣ ΠΡΩΤΟΝ

ΑΘΗΝΗΣΙ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΠΑΛΙΓΓΕΝΕΣΙΑΣ

72 — Ὁδὸς Βορρᾶ — 72

1880



Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ὑπογραφήν μου θεωρεῖται κλοπιμαῖον καὶ καταδιώκεται κατὰ τὸν νόμον.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Η ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἕκτωρ σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ κατελθὼν εἰς τὴν μάχην ἐβοήθει τοῖς Τρωσὶ κεκμηκόσιν ἤδη, καί, συμβουλεύσαντος Ἑλένου τοῦ ἀδελφοῦ μάντεως ὄντος, προκαλεῖται αὐτός, τὶς αὐτῷ βούλοιτο νῦν Ἑλλήνων μονομαχῆσαι. Πολλῶν δὲ προαιρουμένων Αἴας ὁ Τελαμώνιος κληρωθεὶς συνιστᾷ. Μαχομένους δὲ αὐτοὺς κήρυκες καταπαύουσι καὶ νὺξ διαλύει τὴν μάχην. Καὶ οἱ μὲν ἀλλήλοις δῶρα διδόασιν. Ἐπικηρυκευσαμένων δὲ Τρώων περὶ νεκρῶν ἀναιρέσεως τὰ αὐτὰ γίνεται παρ' ἀμφοτέροις τοῖς στρατοῖς, οἵ τε Ἕλληνες τάφον πολυάνδριον κατασκευάζουσι καὶ τεῖχος τοῦ ναυστάθμου, ἐφ' ᾧ ὁ Ποσειδῶν ἠγανάκτησε, Ζεύς τε αὐτοῖς διὰ νυκτὸς σημεῖα οὐκ αἴσια τῶν μελλόντων δείκνυσιν.

ΙΛΙΑΔΟΣ Η.[1]

ΕΚΤΟΡΟΣ ΚΑΙ ΑΙΑΝΤΟΣ ΜΟΝΟΜΑΧΙΑ. ΝΕΚΡΩΝ ΑΝΑΙΡΕΣΙΣ.

Ὡς εἰπὼν πυλέων[2] ἐξέσσυτο φαίδιμος Ἕκτωρ,
τῷ[3] δ' ἅμ' Ἀλέξανδρος κί' ἀδελφεός· ἐν δ' ἄρα[4] θυμῷ
ἀμφότεροι[5] μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι[6].

[1] Ἦδε ἡ ῥαψῳδία συνδέεται τοῖς ἡγουμένοις καὶ ἑπομένοις διὰ δεσμῶν μαρτυρούντων τὴν ἑνότητα τοῦ ἔπους. Ἐν μὲν τῇ ἕκτῃ ῥαψῳδίᾳ ὁ Ἕκτωρ καὶ ὁ Πάρις ἀπῆσαν τοῦ στρατοπέδου, ἐνταῦθα δὲ τῶν πυλῶν τῆς πόλεως ἐξελθόντες ἔρχονται εἰς τὸ πεδίον τῆς μάχης. Πρὸς τούτῳ γινεται μνεία τῆς ἐπιορκίας τῶν Τρώων ἐν στίχ. 69 καὶ 351, ἥτις ἐτελέσθη ἐν τῷ Δ. Τοῖς δ' ἑπομένοις ἡ ῥαψῳδία συνδέεται, διότι ἐνταῦθα οἱ Ἀχαιοὶ ἀνεγείρουσι τὰ τοῦ ναυστάθμου τείχη, ὧν συχνάκις μνημονεύει ὁ ποιητὴς ἐν τοῖς ἑπομένοις. Πάντως δ' ἰσχυρὸς δεσμὸς εἶναι, ὅτι ἐν τῇδε τῇ ῥαψῳδίᾳ ὁ Ζεὺς προπαρασκευάζεται πρὸς ἐκτέλεσιν τῆς δοθείσης ὑποσχέσεως τῇ Θέτιδι. Πλείονα ἰδὲ ἐν τῇ Ἱστορ. τῶν ὁμηρ. ἐπῶν ἐν σελ. 273 καὶ 307.

[2] Τὸ πυλέων μετρεῖται ὡς δισύλλαβον, μόνον δ' ἐν Μ 340 ὡς τρισύλλαβον. Ἐκσεύομαι σημαίνει ἐξορμῶ, ἐξέρχομαι βιαστικά, ὅπερ δηλοῖ τὴν προθυμίαν τοῦ Ἕκτορος.

[3] Διαφέρει τὸ ἅμα τινὶ τοῦ σύν τινι, διότι ἐκεῖνο μὲν σημαίνει τὸ σύγχρονον, τοῦτο δὲ ὑποδηλοῖ, ὅτι τὸ ἓν πρόσωπον ἀνήκει τῷ ἑτέρῳ ἐν μοίρᾳ προσθήκης ἢ βοηθείας παριστάμενον.

[4] Τὸ ἄρα ἐτέθη πρὸς ἐξήγησιν τῶν ἡγουμένων.

[5] Μετ' ἐμφάσεως, δηλ. οὐ μόνον ὁ Ἕκτωρ, ἀλλὰ καὶ ὁ Ἀλέξανδρος. Ἀλλ' ἐκεῖνος μὲν ἦτο γενναῖος, οὗτος δὲ θρασύδειλος.

[6] Κατὰ τὸν Σχολιαστὴν ἡ ἐπα-

ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν[1]
οὖρον, ἐπεί κε κάμωσιν[2] ἐϋξέστῃς ἐλάτῃσιν
πόντον ἐλαύνοντες[3], καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
ὡς ἄρα τὼ Τρώεσσιν ἐελδομένοισι[4] φανήτην.
Ἔνθ' ἑλέτην ὁ μὲν[5] υἱὸν Ἀρηϊθόοιο ἄνακτος,
Ἄρνῃ[6] ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης[7]

νάληψις δηλοῖ τὴν προθυμίαν τῶν πολεμιστῶν. «Ἐπανείληφε τὸ αὐτὸ πρὸς ἔμφασιν τῆς προθυμίας. Ἐπανάληψις δέ ἐστι κατὰ τὸν Νικάνορα ἡ τῶν αὐτῶν ἢ τῶν ὁμοίων σχημάτων δὶς ἢ πλειονάκις σύνδεσις, τῶν αὐτῶν, ὡς τὸ δαιτρεῦσαι καὶ ὀπτῆσαι (α,323) καὶ τὸ πολεμίζειν ἠδὲ μάχεσθαι».

[1] Δὲν εἶναι γνωμικὸς ἀόριστος, διότι τοῦτο δὲν συμβαίνει πάντοτε, ἀλλὰ διηγηματικός, δηλ. ἔδωκε μίαν φοράν.

[2] Ὑπῆρχον οἱ γράφοντες ἐπὴν κεκάμωσιν, ἀλλ' ἡ Ἀριστάρχειος ἀνάγνωσις ἐπεκράτησεν. Τὸ ἑπόμενον ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ταῖς κώπαις, ὅτι ἐξ ἐλατίνων ξύλων κατεσκευάζοντο».

[3] Ἔν τισι τῶν ἀρχαίων ὑπομνημάτων ἐγράφετο ἐρέσσοντες. Τὸ ἐλάταις ἐλαύνοντες κατὰ τὸν Εὐστάθιον εἶναι παρήχησις. Ἐπιτυχῶς δ' ὁ ποιητὴς παραβάλλει τοὺς ἐκ τῆς ἠνεμοέσσης πόλεως κατελθόντας πρὸς ἄνεμον. Ὁπόταν ἀποκάμωσι κωπηλατοῦντες τὴν θάλασσαν μὲ καλῶς ἐξεσμένας κώπας.

[4] Ἡ ὁμοιότης τῆς παραβολῆς κεῖται ἐν τῇ ζωηρᾷ ἐπιθυμίᾳ.

[5] Ὁ Ἀλέξανδρος. Κατὰ τὸν Σχολιαστήν· «Πρῶτος δὲ ἀριστεύει Ἀλέξανδρος ὡς προπετής· «Τρωσὶ μὲν πραμάχιζεν» (Γ 16)». Ἡ σύνταξις ἔχει ἀνακολούθως· διότι ἐν ᾧ ὁ ποιητὴς μετεχειρίσθη τὸ ῥῆμα κατὰ δυϊκὸν ἀριθμὸν, τὸ μὲν πρῶτον ὑποκείμενον συνέταξε πρὸς τοῦτο τὸ ῥῆμα, διὰ δὲ τοῦ δευτέρου, ὅπερ ἀπῃτεῖτο πρὸς συμπλήρωσιν τοῦ δυϊκοῦ, ἐσχημάτισεν ἰδίαν πρότασιν.

[6] Ἡ Ἄρνη κεῖται ἐν Βοιωτίᾳ Β 505. Οἱ ἀρχαῖοι παραβάλλοντες τὸ χωρίον τοῦτο πρὸς τὸ ἐν στίχ. 137 εὕρισκον, ὅτι ὁ Μενέσθιος οὗτος ἤθελεν εἶναι πρεσβύτερος τοῦ Νέστορος κατὰ δύω γενεάς. Ἀλλ' οἱ αὐτοὶ ἔλυον τὴν ἀπορίαν λέγοντες, ὅτι εἶναι ὁμωνυμία, καθ' ἃ παραδίδει ὁ Σχολιαστής· «Ἡ τῇ τοῦ ὀνόματος πλανῶνται ὁμωνυμίᾳ· ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηΐθους Βοιωτὸς ἦν κατοικῶν Ἄρνην (ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν), ὁ δὲ ὑπὸ Λυκούργου ἀναιρεθεὶς Ἀρκάς».

[7] Κορυνήτης λέγεται ὁ κρατῶν

γείνατ' Ἀρηΐθοος καὶ Φυλομέδουσα βοῶπις[1].
Ἕκτωρ δ' Ἠϊονῆα[2] βάλ' ἔγχεϊ ὀξυόεντι
αὐχέν' ὑπὸ στεφάνης[3] εὐχάλκου, λῦσε δὲ γυῖα.
Γλαῦκος δ', Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην
Δεξιάδην[4], ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον[5]· ὁ δ' ἐξ ἵππων χαμάδις πέσε, λύοντο δὲ γυῖα.

Τοὺς[6] δ' ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
βῆ ῥα κατ' Οὐλύμποιο[7] καρήνων ἀΐξασα
Ἴλιον[8] εἰς ἱερήν. τῇ δ' ἀντίος ὦρνυτ' Ἀπόλλων
Περγάμου[9] ἐκκατιδών, Τρώεσσι δὲ βούλετο νίκην.

ῥάβδον, ῥόπαλον, ὅπερ συνήθως ἦτο σιδηροῦν, ὡς αὐτὸς ὁ Ὅμηρος ἐπεξηγεῖ ἐν στίχ. 138 «τὸν ἐπίκλησιν κορυνήτην ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες, οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῷ, ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας.»

[1] Συνήθως τὸ ἐπίθετον ἀποδίδεται τῇ Ἥρᾳ, γυναικὶ δὲ μόνον ἐνταῦθα καὶ ἐν Γ 144.

[2] Ἄλλος εἶναι ὁ Ἠϊονεὺς ὁ τοῦ Ῥήσου πατὴρ ὁ ἐν Κ 435 μνημονευόμενος.

[3] Στεφάνη κυρίως λέγεται τὸ ἐξέχον μέρος τῆς περικεφαλαίας, ὅπερ προφυλάσσει τὸ μέτωπον καὶ τοὺς ὀφθαλμούς, συνεκδοχικῶς δὲ καὶ ἡ ὅλη περικεφαλαία.

[4] Τινὲς τῶν ἀρχαίων τὸ πατρωνυμικὸν ἐξήγουν ὡς ἐπίρρημα, καθ' ἃ λέγει ὁ Σχολιαστής· «Ἢ τὸν υἱὸν Δεξίου δηλοῖ, ἢ ἐπίρρημά ἐστιν ἀντὶ τοῦ κατὰ δεξιὰ ἢ δεξιῶς». Ὁ Ἰφίνοος ἐμάχετο πεζός, ἰδὼν ὅμως τὸν κίνδυνον ἐπήδησεν ἐπὶ τοῦ ἅρματος, ὅπερ ἠκολούθει αὐτῷ, ἀλλὰ βληθεὶς ὑπὸ τοῦ Γλαύκου κατέπεσεν, ὡς ἐν Ε 46.

[5] Αἰτιατικὴ τοῦ κατά τι, κατὰ τὸν ὦμον.

[6] Ὁ ποιητὴς ἐνόμισεν ἱκανὴν τὴν περιγραφὴν τῶν πράξεων τριῶν ἐξόχων Τρώων, ὅπως δηλώσῃ τὴν τροπὴν τῆς μάχης ὑπὲρ αὐτῶν.

[7] Οἱ θεοὶ κατέλιπον τὸ πεδίον τῆς μάχης ἐν τέλει τῆς πέμπτης ῥαψῳδίας.

[8] Ἴλιος ἐνταῦθα σημαίνει οὐ μόνον τὴν πόλιν, ἀλλὰ καὶ τὴν πέριξ χώραν, ὡς ἐν Α 71.

[9] Ἡ ἀκρόπολις τοῦ Ἰλίου, ἔνθα

ἀλλήλοισι δὲ τώγε συναντέσθην παρὰ φηγῷ 1.
τὴν πρότερος προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
«Τίπτε σὺ δὴ αὖ 2 μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
ἦλθες ἀπ' Οὐλύμποιο, μέγας δέ 3 σε θυμὸς ἀνῆκεν;
ἦ 4 ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῷς; 5 ἐπεὶ οὔτι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ' εἴ μοί τι πίθοιο· τό 6 κεν πολὺ κέρδιον εἴη·
νῦν μὲν 7 παύσωμεν πόλεμον καὶ δηϊοτῆτα,

ὑπῆρχε ναὸς τοῦ Ἀπόλλωνος. Ὅρα Δ 508 καὶ Ε 446.

1 Ἡ Φηγὸς ἔκειτο οὐ πόρρω τῶν Σκαιῶν πυλῶν, Ε 693.

2 Μετὰ συνιζήσεως. Τὸ αὖ ὑποδηλοῖ, ὅτι καὶ αὖθις ἦλθεν εἰς τὸ πεδίον τῆς μάχης.

3 Ἐκ τῆς προηγουμένης προτάσεως ἐννοεῖται τὸ ἀπαρέμφατον ἐλθεῖν.

4 Ὁ Ἀπόλλων δὲν περιμένει τὴν ἀπόκρισιν τῆς Ἀθηνᾶς, ἀλλὰ δίδωσιν αὐτὸς ταύτην μετὰ πικρίας. Μήπως, ἵνα δὰ δώσῃς νίκην εἰς τοὺς Δαναούς; Τὸ ἐπίθετον ἑτεραλκὴς εἶναι σύνθετον ἐκ τοῦ ἕτερος καὶ ἀλκὴ καὶ κατὰ τὸν Döderlein σημαίνει τὸν ἀποκρούοντα τοὺς ἑτέρους, ἤτοι τοὺς ἐναντίους, ὅπερ δὲν εἶναι πιθανόν. Συνήθως ἑρμηνεύεται νίκη τελεία· ἡμῖν ὅμως ἡ τοῦ Σχολιαστοῦ ἑρμηνεία δὲν φαίνεται ἀπορριπτέα· «Ἐπίθετον τοῦτο τῆς νίκης. Γίνεται δὲ ὅταν οἱ πρότερον νικήσαντες ἐξ ἑτεροδυναμίας τινὸς παρεισβαλούσης ἡττηθῶσιν» διότι οἱ ἀγωνιζόμενοι φύσει εἶναι δύω, ἐξ ὧν ὁ εἷς νικᾷ, ὁ δὲ μὴ νικῶν εἶναι ἕτερος. Λοιπὸν τῷ μὴ νικῶντι τὴν ἀλκὴν δίδουσα. Ἐπειδὴ δὲ ἡ λέξις νίκη ἔχει γενικὴν σημασίαν, προσετέθη ἡ γενικὴ μάχης.

5 Ὁ τελικὸς λόγος φέρεται καθ' ὑποταχτικὴν καί περ ἐκ παρωχημένου χρόνου ἐξαρτώμενος, διότι ὁ σκοπὸς πρόκειται νὰ ἐπιτευχθῇ ἐν τῷ μέλλοντι Διὰ τοῦ ἑπομένου συνδέσμου αἰτιολογεῖται ἡ εἰκασία, δηλ. εἰκάζω τοῦτο, διότι δὲν συνειθίζεις κατά τι νὰ ἐλεῇς τοὺς Τρῶας φθειρομένους.

6 Κατά τινας ἡ πρότασις αὕτη εἶναι ἀπόδοσις τῆς προηγουμένης ὑποθέσεως, κατ' ἄλλους ὅμως τὸ προηγούμενον εἶναι εὐχή, τοῦτο δὲ παρένθεσις, ὅπερ φαίνεταί μοι πιθανώτερον.

7 Τοῦτο ὁρίζεται ἀκριβέστερον διὰ τοῦ ἑπομένου σήμερον· τώρα μὲν ἂς παύσωμεν τὸν πόλεμον καὶ τὴν σφαγήν, δηλ. σήμερον, ὕστερον ὅμως.

σήμερον [1]· ὕστερον αὖτε μαχήσοντ' [2], εἰσόκε τέκμωρ
Ἰλίου εὖρωσιν [3], ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
ὑμῖν [4] ἀθανάτῃσι, διαπραθέειν τόδε ἄστυ.»

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
«Ὣδ' ἔστω, ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ [5]
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας [6] πόλεμον καταπαυσέμεν ἀνδρῶν;»

Τὴν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
«Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν [7] τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἷος [8]
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι [9].

[1] Ἐκ τοῦ τῇ ἡμέρᾳ, ὡς δεικνύει καὶ τὸ ἀττικὸν τ ή μ ε ρ ο ν.

[2] Δὲν μετεχειρίσθη αὐθυπότακτον ἢ προστακτικήν, ὅπως δηλώσῃ τι βέβαιον, ὡς ἐν Ζ 71 «ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι νεκροὺς ἅμ πεδίον συλήσετε τεθνηῶτας». Τέκμωρ σημαίνει τὸ τέρμα, τὸν σκοπόν, δηλ. μέχρις ὅτου ἐπιτύχωσι τῆς σκοπουμένης ἁλώσεως τοῦ Ἰλίου.

[3] Ὅρα, ὅτι ὑπάρχει ἀλλαγὴ τοῦ ὑποκειμένου· ὑποκείμενον τοῦ μαχήσονται εἶναι οἱ Ἀχαιοὶ καὶ οἱ Τρῶες, ἐνταῦθα δὲ μόνον οἱ Ἀχαιοί. Τὸ ἑπόμενον ὡς ἀποδίδεται μὲν εἰς τὸ τέκμωρ Ἰλίου εὖρωσιν, ἐπεξηγεῖται δὲ διὰ τοῦ ἑπομένου ἀπαρεμφάτου.

[4] Σοὶ καὶ τῇ Ἥρᾳ, Δ 21.

[5] Καὶ ἄνευ τῆς παρακελεύσεώς σου. Ἡ Ἀθηνᾶ ἦλθεν, ὅπως ἀποκρούσῃ τὸν κίνδυνον τῶν Ἀχαιῶν, ἀλλὰ παρατηρεῖ, ὅτι ἡ πρότασις τοῦ Ἀπόλλωνος διευκολύνει τὸν σκοπὸν αὐτῆς.

[6] Παρακείμενος ἔχων σημασίαν ἐνεστῶτος ἐκ τῆς ῥίζης μα, ἐξ ἧς καὶ τὸ μέμαα· σημαίνει δὲ θέλεις, ἐπιθυμεῖς. Ἀλλ' ἔλα εἰπέ, πῶς ἐπιθυμεῖς νὰ καταπαύσωμεν τὸν πόλεμον τῶν θνητῶν;

[7] Ἐννοεῖται ἡ μετοχὴ πειρώμενοι, ἐξ ἧς ἐξαρτᾶται ἡ ὑπόθεσις.

[8] Εἶναι ἰσχυροτέρα ἡ φράσις τοῦ οἷος καὶ ἐγένετο κατ' ἀναλογίαν τοῦ ἄλλοθεν ἄλλος. Παραπλήσιον εἶναι τὸ ἐν στίχ. 97 αἰνόθεν αἰνῶς. Προσδιορίζει δὲ τὸ μάχεσθαι, οὗ ὑποκείμενον εἶναι ἡ ἀόριστος ἀντωνυμία τινά.

[9] Δηϊοτῆτα ἐνταῦθα ὁ ποιητὴς ὀνομάζει τὴν μονομαχίαν.

οἱ [1] δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἷον [2] ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ.»
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
τῶν [3] δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, σύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσιν [4]. 45
στῆ δὲ παρ' Ἕκτορ' [5] ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
«Ἕκτορ, υἱὲ [6] Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε [7],
ἦ ῥά νύ μοί τι πίθοιο [8]; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅστις ἄριστος [9] 50

[1] Ἡ πρότασις αὕτη κατέστη ὅλως ἀνεξάρτητος μὴ ἐξαρτωμένη ἐκ τοῦ ἦν που. Τὸ ἀγασσάμενοι σημαίνει ζηλεύσαντες, φιλοτιμηθέντες. Χαλκοκνήμιδες λέγονται οἱ ἔχοντες χαλκᾶς περικνημῖδας.

[2] Παρεφελείφθη ἡ ἀόριστος ἀνωνυμία τινά, ὡς ἀλλαχοῦ ἡ προσωπική, ἐν Ι 355 «ἔνθα ποτ' οἷον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν».

[3] Ἡ γενικὴ αὕτη συντακτικῶς ἀνήκει τῇ ἑπομένῃ αἰτιατικῇ βουλήν. Ὁ Ἕλενος δὲν ἤκουσε τὸν διάλογον τῶν θεῶν, ἀλλ' ὁ μάντις ἐνόησε τὴν θέλησιν αὐτῶν, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «τουτέστιν ἔγνω διὰ τέχνης μαντικῆς, θυμῷ οἷά τις θυμόσοφος βουλήν, ἢ θεοῖς ἤρεσκε, τῇ Ἀθηνᾷ δηλαδὴ καὶ τῷ Ἀπόλλωνι .... Ὅτι δὲ Ἕλενος καὶ Κασάνδρα βρεφῶν ἄγοντες ἡλικίαν καὶ τεθέντες που ἐν ἄλσει Ἀπόλλωνος γλώσσαις ὄφεων τοὺς τῆς ἀκοῆς ἐκαθάρθησαν πόρους, κἀντεῦθεν τὴν μαντικὴν ἄκρως ἐτελέσθησαν ὡς καὶ φωνῶν θείων ἐπαΐειν».

[4] Μητιάω ἐκ τοῦ μῆτις· ἡ ὁποία ἤρεσκεν εἰς τοὺς θεοὺς διασκεπτομένους.

[5] Πτώσεως αἰτιατικῆς, ὡς ἐν Γ 406 «ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόεικε κελεύθου».

[6] Τὸ ε λαμβάνεται ὡς μακρὸν ἐν τῇ κλητικῇ, ὡς καὶ ἐν Δ 338, Ε 21, Τ 216 καὶ ἀλλαχοῦ.

[7] Ἀτάλαντος εἶναι ὁ ἰσοβαρής, ὁ ἰσοστάσιος.

[8] Ἡ δι' εὐκτικῆς ἐρώτησις δηλοῖ εὐχήν, ὡς ἐν Δ 93. Ὁ ἑπόμενος δὲ ἔχει αἰτιολογικὴν σημασίαν. Ὀρθῶς παρατηρεῖ ὁ Εὐστάθιος· «Ὡς μὲν οὖν μάντις, οἶδε τὸ μέλλον, ὡς δὲ ἀδελφός, εὐνοεῖ· οὔτε οὖν ψεύσεται, οὔτε ἀκλεές τι τῷ εὐνοουμένῳ ἐρεῖ».

[9] Ἀντὶ νὰ εἴπῃ, τὸν ἄριστον Ἀχαιῶν. Ἡ προκειμένη ὅμως φράσις ἐξαίρει τὴν παράθεσιν, ὡς

ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον [1] ἐπισπεῖν.
ὡς γὰρ ἐγὼν ὅπ' ἄκουσα [2] θεῶν αἰειγενετάων»

Ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτ' ἐχάρη [3] μέγα μῦθον ἀκούσας,
καὶ ῥ' ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών [4]· τοὶ δ' ἱδρύνθησαν [5] ἅπαντες.
κὰδ δ' Ἀγαμέμνων εἶσεν ἐϋκνήμιδας Ἀχαιούς.
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἕζέσθην, ὄρνισιν ἐοικότες [6] αἰγυπιοῖσιν,

ἐν Ρ 62 «Βοσκομένης ἀγέλης βοῶν ἁρπάσῃ, ἥτις ἀρίστη.»

[1] Ἐκ τῆς ῥίζης π ε τ, ἐξ ἧς τὸ πίπτω· σημαίνει δὲ τὸν ὑπὸ τῆς εἱμαρμένης ὡρισμένον θάνατον.

[2] Οἱ ἀρχαῖοι ἠθέτουν τὸν στίχον τοῦτον, ὡς παραδίδει ἡμῖν ὁ Σχολιαστής· «Ἀθετεῖται, διὰ τῆς μαντικῆς αὐτῶν συνῆχεν, ὡς εἴρηται». Τὴν ἀθέτησιν ἐπιδοκιμάζουσι καὶ οἱ νεώτεροι, διότι ἐν τῷ ἡγουμένῳ διαλόγῳ τῶν θεῶν τοιοῦτόν τι δὲν ἐλέχθη. Ἠδύνατο ὅμως νὰ εἴπῃ τις, ὅτι ἐν τῷ διαλόγῳ ἐρρέθησαν καὶ ἄλλα, ὧν δὲν ἐμνημόνευσεν ὁ ποιητής. Ταῦτα δ' ἤκουσεν ὁ μάντις, διότι τὰ ὦτα αὐτοῦ ἐκαθαρίσθησαν ὑπὸ ὄφεων, ὡς εἴρηται πρὸ ὀλίγου. Πρὸς τούτοις φαίνεται παράδοξον, ὅτι ὁ ἀνδρεῖος Ἕκτωρ παραινεῖται ὡς δειλὸς νὰ μονομαχήσῃ, διότι δὲν εἶναι πεπρωμένον ἀκόμη νὰ ἀποθάνῃ. Τοῦτο παρετήρησε καὶ ὁ Εὐστάθιος εἰπών· «Σημείωσαι δὲ καὶ ὅτι σμικρύνεταί πως ἐνταῦθα τὸ θάρσος καὶ ἡ ἀνδρία τοῦ Ἕκτορος, οὐ γὰρ ἁπλῶς εἰς μονομαχίαν ὁρμᾷ, ἀλλὰ πρότερον μαθών, ὅτι οὔπω σοι μοῖρα θανεῖν». Ἀλλὰ τοῦτο δεικνύει τὸν χαρακτῆρα τοῦ Ἑλένου· διότι ὁ Ἕκτωρ οὐδὲν σημεῖον δειλίας ἔδειξεν.

[3] Ὁ Ἕκτωρ χαίρει οὐχὶ διὰ τὴν διαβεβαίωσιν τοῦ μάντεως, ἀλλὰ διότι ἐλπίζει εὔκλειαν.

[4] Φαίνεται, ὅτι ὁ Πριαμίδης ἔλαβε τὸ δόρυ αὐτοῦ εἰς τὸ μέσον, ἵνα οὕτω πλαγίως ἀναχαιτίζῃ τὰς φάλαγγας. Ἑρμηνεύεται ὅμως καὶ ἄλλως τὸ χωρίον, ὡς εἴπομεν ἐν Γ 78.

[5] Διὰ τοῦ ἀορίστου δηλοῦται τὸ τέλος τῆς πράξεως, ἣν ἐσήμανε διὰ τοῦ παρατατικοῦ ἀνέεργε. Τὸ ῥῆμα δὲν σημαίνει, ὅτι ἐκάθισαν, ἀλλὰ μόνον, ὅτι ἀπέσχον τῆς μάχης.

[6] Ὁ Platz ἐπεχείρησε νὰ ἀποδείξῃ, ὅτι ὁ ποιητὴς διὰ τῶν λέξεων ἐοικέναι, εἴδεσθαι, ἴκελος, ἐναλίγκιος, ἀτάλαν-

φηγῷ [1] ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο,
ἀνδράσι τερπόμενοι [2]· τῶν δὲ στίχες εἵατο πυκναί,
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι [3].
οἵη δὲ Ζεφύροιο [4] ἐχεύατο πόντον ἔπι φρὶξ

60

τος καὶ ἴσος ἐννοεῖ παραβολὴν τῶν θεῶν πρὸς ἔμψυχα καὶ ἄψυχα ὄντα (Die Götterverwandlungen, Karlsruhe 1857). Τοὐναντίον ὁ Nägelsbach καὶ πλεῖστοι ἄλλοι δέχονται μεταμόρφωσιν, ὅπερ θεωροῦμεν ὀρθόν. Φαίνεται μὲν παράδοξον, ὅτι οἱ θεοὶ εἰς ζῷα μετεμορφοῦντο, ἀλλὰ τοῦτο δὲν ἀντίκειται εἰς τὴν δημοτικὴν μυθολογίαν. Τὰ ζῷα ἔχουσι ζωήν, ἀλλὰ δὲν εἶναι καταληπτὰ τοῖς ἀνθρώποις· τοῦτο εἶναι μυστηριῶδες καί τι θεῖον, ὅπερ παρίσταται ἔτι καὶ νῦν ἐν τῇ φαντασίᾳ τῶν ἀγροτῶν. Ὅρα Friedreich, Die Realien σελ. 700. Αἰγυπιὸς εἶναι μέγα ἁρπακτικὸν πτηνόν, ἀλλὰ περὶ τοῦ ἐτύμου τῆς λέξεως ὑπάρχει διαφωνία. Κατὰ τὸν Döderlein παράγεται ἐκ τοῦ γύψ, ἀλλ' οὗτος μὴ δυνάμενος νὰ αἰτιολογήσῃ τὴν συλλαβὴν αι νομίζει, ὅτι προσετέθη πρὸς εὐφωνίαν, ὡς καὶ ἐν τῇ αἴθυια· κατὰ δὲ τὸν Lobeck εἶναι ἡ λέξις σύνθετος ἐκ τοῦ αἰετὸς καὶ γὺψ καὶ κατὰ τὸν Duentzer ἐκ τοῦ αἴσσω.

[1] Κυρίως εἶναι ἐπίθετον ἐννοουμένου τοῦ οὐσιαστικοῦ δρῦς. Ὁ Εὐστάθιος οὐχὶ ἀφυῶς παρατηρεῖ· «Ἦν δὲ καὶ ἄλλως αἰδέσιμος ἁπλῶς ἡ δρῦς διὰ τὸ ἀρχέγονον τῆς τροφῆς, ἣν ἐπόριζεν, ὅτε οἱ παλαιοὶ βαλανηφαγεῖν εἶχον ἀνάγκην, οἱοῖοι καὶ οἱ Ἀρκάδες, οὓς ὁ χρησμὸς κατ' ἐξαίρετόν τι βαλανηφάγους ἐκάλεσεν.»

[2] Ὁ Πλάτων λέγει περὶ τοῦ ἀνθρώπου ἐν Νομ. VII, 803 «φύσει δὲ εἶναι θεὸν μὲν πάσης μακαρίου σπουδῆς ἄξιον, ἄνθρωπον δέ, ὅπερ εἴπομεν ἔμπροσθεν, θεοῦ τι παίγνιον μεμηχανημένον.»

[3] Τὸ φρίσσειν κυρίως λέγεται ἐπὶ ἐμψύχων, ὅσα ἀνορθοῦσι τὰς τρίχας. Ἐπιτυχῶς δ' ὁ ποιητὴς παραβάλλει τὰς φάλαγγας πρὸς ζῷα ἔχοντα ἀνωρθωμένας τὰς τρίχας.

[4] Ὑπ' ἄλλων μὲν συντάσσεται πρὸς τὸ φρίξ, ὑπ' ἄλλων δὲ θεωρεῖται γενικὴ ἀπόλυτος, ὅπερ πιθανώτερον. Τὸ ἐχεύατο εἶναι ἐμπειρικὸς ἀόριστος. Κατὰ τὸν Σχολιαστήν· «Φρὶξ δὲ ἡ ἐξ ἐπιπολῆς κίνησις τοῦ κύματος ἀρχομένου, ἢ τὸ ἐπιπολάζον τῷ κύματι ἀφρῶδες, ὅταν ἄνεμος ἄρχηται πνεῖν. Βέλτιον δὲ τὴν πρώτην ἔγερσιν τῶν κυμάτων ἀκούειν». Καθὼς, ὅταν πρὸ ὀλίγου σηκόνηται ὁ Ζέφυρος, χύνεται φρικίασις εἰς τὴν θάλασσαν.

ὀρνυμένοιο νέον, μελάνει 1 δέ τε πόντος ὑπ' αὐτῆς,
τοῖαι ἄρα στίχες εἵατ' Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔειπεν·
»Κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί,
ὄφρ' εἴπω τά 2 με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ὅρκια 3 μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται 4 ἀμφοτέροισιν,
εἰσόκεν ἢ ὑμεῖς Τροίην εὔπυργον 5 ἕλητε,
ἢ αὐτοὶ 6 παρὰ νηυσὶ δαμήετε 7 ποντοπόροισιν.

1 Εἶναι διάφορος τύπος τοῦ μελαίνω, ὡς τὸ κυδάνω ἐν Υ 42 τοῦ κυδαίνω. Ὁ Ἀρίσταρχος ἀντὶ τῆς ὀνομαστικῆς πόντος ἔγραφε πόντον λαμβάνων ὡς ὑποκείμενον τοῦ ῥήματος τὸν Ζέφυρον, ὅπερ δέχεται καὶ ὁ Spitzner. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Ameis, ὅτι τοῦτο εἶναι δύσκολον, διότι ὁ Ζέφυρος ἐν τῇ ἡγουμένῃ προτάσει δὲν εἶναι ὑποκείμενον, ἀλλὰ τὸ ὄνομα ἐτέθη κατὰ γενικήν. Πρὸς τούτοις μαυρίζει ἡ θάλασσα κάτωθεν αὐτῆς.

2 Ἀντικείμενον τοῦ ἐννουμένου ἀπαρεμφάτου εἰπεῖν.

3 Ἐννοεῖ τὰ περιγραφόμενα ἐν Γ 245—301. Πολλοὶ ὅμως κριτικοί, ὡς ὁ Haupt, ὁ Düntzer καὶ ἄλλοι θεωροῦσι τοῦ στίχους 69—72 ὡς ὑπόπτους, ἀλλ' οὗτοι εἶναι ἀναγκαῖοι· διότι ὁ Ἕκτωρ προκαλῶν τοὺς Ἀχαιοὺς εἰς μονομαχίαν, ἐν ᾧ οἱ Τρῶες δὲν ἐπλήρωσαν τοὺς ὅρους τῆς πρώτης μονομαχίας, ὤφειλε νὰ δικαιολογηθῇ. Καὶ λοιπὸν ἀποδίδει τὴν αἰτίαν τῷ Διὶ καὶ ὄντως ὁ ὑπέρτατος θεὸς ἐγένετο ἡ αἰτία τῆς ἐπιορκίας, ὡς γίνεται δῆλον ἐν Γ 72. Κατὰ τύπον ὁ μὲν ἔχει τὴν ἀπόδοσιν αὐτοῦ ἐν στίχ. 73, κατ' ἔννοιαν ὅμως ἡ ἀντίθεσις ὑπάρχει ἐν στίχ. 74 καὶ 75. Περὶ τοῦ ὑψίζυγος ὅρα ἐν Δ 166.

4 Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἐπιτελεῖ· τέκμωρ γὰρ τὸ τέλος»

5 Τὸ εὔπυργος ἁπαντᾷ μόνον ἐνταῦθα, ἀλλαχοῦ δ' εὕρηται εὐτείχεος.

6 Περιεμένομεν τὴν ἀντωνυμίαν ἡμεῖς, ἀλλ' ὁ Ἕκτωρ, ὅπως μὴ προσβάλῃ τοὺς Ἀχαιούς, ἔτρεψε τὴν φράσιν, ὡς παρατηρεῖ ὁ Σχολιαστής· «Ἔδει ἐπαγαγεῖν ἢ ἡμεῖς παρὰ ταῖς ναυσὶν ὑμᾶς ἕλοιμεν. Διὰ δὲ τὸ νεμεσητὸν οὕτως ἐσχημάτισε τὸν λόγον.»

7 Τὰ χειρόγραφα ἔχουσι δαμείετε, ὅπερ ἤθελεν εἶναι εὐκτικῆς. Ἐπειδὴ ὅμως ἡ ἀλλαγὴ τῆς ἐγκλίσεως μένει δυσεξήγητος ἐνταῦθα (ἂν καὶ ὁ La Roche

ὑμῖν δ' [1] ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
τῶν νῦν [2] ὄντινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει [3],
δεῦρ' ἴτω ἐκ πάντων πρόμος [4] ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε [5] δὲ μυθέομαι, Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος [6] ἔστω·

ἐπεχείρησε νὰ ἀνεύρῃ ἀνάλογα ἐν Σ 307 καὶ ο 300), πρέπει νὰ ἔχωμεν ὑποτακτικήν. Τὸ ε μόνον πρὸ τοῦ ο καὶ ω τρέπεται εἰς ει, ὡς στείομεν, τραπείομεν, καὶ θείω, βείω, δαμείω· ἄλλως τρέπεται εἰς η, ὡς φανήῃ, μιγήῃ, ἀνήῃ, δαμήῃ, παρστήετον ἐν σ. 182. Διὰ τοῦτο τὸ δαμείετε εἶναι ἀνάγκη νὰ τραπῇ εἰς δαμήετε, ὅπερ ποιοῦσιν οἱ πλεῖστοι τῶν κριτικῶν.

[1] Οἱ ἐκδόται ὀρθῶς ποιοῦντες δέχονται τὴν γραφὴν τοῦ Ἀριστάρχου γράφοντος, ὡς ὑπάρχει ἐν τῷ χειμένῳ, ἐν ᾧ τὰ χειρόγραφα ἔχουσιν ὑμῖν μὲν γὰρ ἔασιν· διότι, ὡς παρατηρεῖ ὁ Amcis, ὁ δὲ εἶναι ἀναγκαῖος, ὅπως γίνηται ἀντίθεσις πρὸς τὸ ὅρκια μέν. Ὁ γὰρ ἔχει προληπτικὴν σημασίαν, δηλ. ἐπεξηγεῖ τὰ ἑπόμενα, ὡς ἐν Β 803—805, Κ 378—380 καὶ ι 319—325.

[2] Τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὴν μέλλουσαν τοῦ ἀγῶνος κρίσιν τὴν ὑπάρχουσαν ἐν στίχ. 71.

[3] Ἐν ταῖς γενικαῖς ἀναφορικαῖς προτάσεσι τίθεται συνηθέστατα ἡ ὑποτακτική, εἰς ἣν ἔτρεψεν ἐνταῦθα ὁ La Roche.

Ἀπαντᾷ ὅμως ἐν Β 114 καὶ παρὰ τοῖς μεταγενεστέροις.

[4] Πρόμος καὶ πρόμαχος εἶναι συνώνυμα. Ἀντὶ νὰ εἴπῃ ἐμοὶ λέγει Ἕκτορι, ὅπερ διὰ πολλοὺς καὶ διαφόρους λόγους γίνεται παρὰ τοῖς ἀρχαίοις, π. χ. ἐν Α 240 ὁ Ἀχιλλεὺς κολακεύων ἑαυτὸν λέγει «ἦποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν σύμπαντας». Κατὰ τὰς ἡμετέρας ἰδέας ὁ λέγων δὲν δύναται νὰ ἐπαινέσῃ ἑαυτόν, ὡς ἐνταῦθα ὁ Ἕκτωρ ὀνομάζει ἑαυτὸν δῖον, ἐν τῷ ἡρωικῷ ὅμως αἰῶνι τὸ τοιοῦτον δὲν ἦτο ἀσύγγνωστον, π. χ. ὁ Νέστωρ λέγει περὶ ἑαυτοῦ ἐν Λ 761 «πάντες δ' εὐχετόωντο θεῶν Διὶ Νέστορι τ' ἀνδρῶν» καὶ ὁ Πολυδάμας ὀνομάζει ἑαυτὸν μεγάθυμον Ξ 454. Καὶ ὁ Οὐιργίλιος ἐν Αἰνειάδ. I, 378 μιμούμενος λέγει· «Sum pius Aeneas fama super aethera notus.»

[5] Ἡ φράσις αὕτη χρησιμεύει ὡς εἰσαγωγὴ εἰς τὴν πρότασιν περὶ μονομαχίας.

[6] Κατά τινας ἡ πρόθεσις περιττεύει, κατ' ἄλλους σημαίνει τὸ ἄνωθεν (διότι λέγεται περὶ θεῶν) καὶ κατ' ἄλλους μάρτυς ἐπάνω εἰς ταῦτα, ὅπερ πιθανώτερον.

εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ [1] χαλκῷ,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα [2] δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι [3] θανόντα.
εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι [4] εὖχος Ἀπόλλων,
τεύχεα συλήσας οἴσω προτὶ Ἴλιον ἱρὴν
καὶ κρεμόω [5] προτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο [6],
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω,
ὄφρα ἑ ταρχύσωσι [7] κάρη κομόωντες Ἀχαιοί,
σῆμα [8] τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ [9].

[1] Ταναήκης ἐκ τοῦ τανα ὸς καὶ ἀκή, ὁ ἔχων μακρὰν ἤτοι ὀξεῖαν αἰχμήν. Εἶναι ἐπίθετον τοῦ δόρατος, τοῦ ξίφους καὶ τοῦ πελέκεως δ 257.

[2] Ὁ Ὅμηρος ἐπὶ μὲν νεκρῶν μεταχειρίζεται τὴν λέξιν σῶ μα, ἐπὶ δὲ ζώντων τὴν λέξιν δέμας. Εἰς τὸ δόμεναι δὲν εἶναι ἀνάγκη νὰ ἐννοήσωμεν τὸ λίσσομαι, διότι κεῖται ἀντὶ προστακτικῆς.

[3] Καταστήσωσί με θανόντα μέτοχον τοῦ πυρός. Ὁ Εὐστάθιος ἑρμηνεύει· «ταφῆς ἀξιώσωσι».

[4] Ἡ ἀντωνυμία ἐνταῦθα δὲν τονίζεται, διότι ἡ ἀντίθεσις πρὸς τὸ ἐκεῖνος ἐγένετο διὰ τοῦ ἐγώ. Ὁ Ἀπόλλων εἶναι ὁ κατ' ἐξοχὴν προστάτης τοῦ Ἕκτορος Ο 350, Χ 343, Ψ 76 καὶ ἀλλαχοῦ.

[5] Μέλλων κατ' ἐπικὴν ἐπέκτασιν ἀντὶ κρεμῶ. Τὸ ῥῆμα συνετάχθη μετὰ τῆς πρός, ὡς καὶ τὸ ἀνάπτειν ἐν σ. 274 καὶ τὸ ἀνακρεμάννυμι παρ' Ἡροδότῳ V 95 «τὰ δὲ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι καί σφεα ἀνεκρέμασαν πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ». Ὁ Ἕκτωρ ἔμελλε νὰ κρεμάσῃ τὴν πανοπλίαν τοῦ πεσόντος πολεμίου εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος πρὸς δήλωσιν, ὅτι τῷ θεῷ τούτῳ ὀφείλεται ἡ νίκη.

[6] Τὸ ἑκατος θεωρεῖται ὑποκοριστικὸς τύπος τοῦ ἑκατηβόλος, ὡς τὸ Εἰδώ τοῦ Εἰδοθέα καὶ Ταυρὼ τοῦ Ταυροπόλα.

[7] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Θάψωσι. Τάρχεα τὰ νενομισμένα τοῖς νεκροῖς πρὸς κηδείαν». Φαίνεται, ὅτι τὸ ῥῆμα εἶναι συγγενὲς τοῦ ταριχεύω.

[8] Ὄντως βραδύτερον ἐπὶ τοῦ Ἑλλησπόντου ὑπῆρχον τάφοι ἐπιφανῶν ἡρώων ἄποπτοι τοῖς πλέουσι, τοῦ Αἴαντος, τοῦ Ἀχιλλέως, τοῦ Πατρόκλου καὶ τοῦ Ἀντιλόχου.

[9] Παράδοξον, ὅτι ὁ ποιητὴς

καί ποτέ τις εἴπῃσι [1] καὶ ὀψιγόνων ἀνθρώπων,
νηΐ πολυκλήϊδι πλέων ἐπὶ οἶνοπα πόντον·
'ἀνδρὸς μὲν [2] τόδε σῆμα πάλαι κατατεθνηῶτος,
ὃν ποτ' ἀριστεύοντα [3] κατέκτανε φαίδιμος Ἕκτωρ'.
ὥς ποτέ τις ἐρέει· τὸ δ' ἐμὸν κλέος [4] οὔποτ' ὀλεῖται.»

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν [5] ἐγένοντο σιωπῇ·
αἴδεσθεν μὲν ἀνήνασθαι [6], δεῖσαν δ' ὑποδέχθαι.
ὀψὲ δὲ δὴ Μενέλαος [7] ἀνίστατο καὶ μετέειπεν
νείκει ὀνειδίζων, μέγα δὲ στεναχίζετο [8] θυμῷ·

ὀνομάζει τὸν Ἑλλήσποντον πλατύν· ὁ Εὐστάθιος πρὸς ἐξήγησιν λέγει· «Πλατὺν δὲ Ἑλλήσποντον λέγει οὐ τὸν ἁπλῶς διόλου τοιοῦτον, ἔχει γὰρ στενὰ πολλὰ καί τι λίαν στενότατον καὶ οὐ πλέον ἑπτασταδίου πλατυνόμενον, ἀλλὰ τὸ διεκπίπτον αὐτοῦ ἔξω πρὸς τῷ Αἰγαίῳ ἕως καὶ εἰς τὸ ναύσταθμον καὶ εἰς τὸ Ῥοίτειον καὶ εἰς τὸ Σίγειον τὰ ἀνωτέρω ῥηθέντα, ἐκεῖνο πλατὺν Ἑλλήσποντον λέγει». Ἐπειδὴ ὅμως ὁ Ὅμηρος ὀνομάζει τὸν Ἑλλήσποντον ἀγάρροον, Β 845, εἶναι πιθανώτατον, ὅτι ἐθεώρει τοῦτον ὡς ποταμόν. Καὶ ὁ Ξέρξης πρὸς περιφρόνησιν ὀνομάζει ἁλμυρὸν ποταμὸν Ἡρόδοτ. VII, 35. Ἂν λοιπὸν θεωρηθῇ ὡς ποταμός, εἶναι ὄντως πλατύς.

[1] Ἡ πρότασις αὕτη δὲν ἐξαρτᾶται ἐκ τοῦ ὅφρα, ἀλλὰ κεῖται ἀντὶ μέλλοντος τῆς ὁριστικῆς, ὡς ἐν Ζ 459.

[2] Μὲν=μήν.

[3] Ποιεῖ ἀντίθεσιν πρὸς τὸ κατέκτανε· ἂν καὶ ἦτο ἄριστος, ὅμως ἐφόνευσε τοῦτον ὁ Ἕκτωρ·

[4] Ὁ Doederlein εἰκάζει, ὅτι πρέπει νὰ γραφῇ, τὸ δ' ἐὸν κλέος, δηλ. ἡ δόξα τοῦ φονευθέντος ὑπὸ τοῦ Ἕκτορος θὰ ἦναι ἀθάνατος, ὅπερ ἤθελεν εἶναι ἄγαν διπλωματικόν. Ὁ Εὐστάθιος παρατηρεῖ· «Πλαγίως ἔπαινόν τε τῆς Ὁμήρου ἐμφαίνει ποιήσεως καὶ τὴν αὐτοῦ μαντικὴν ἐνδείκνυται».

[5] Ἀρχαία αἰτιατικὴ περιπεσοῦσα εἰς ἐπιρρηματικὴν σημασίαν. Ὅλοι ἡσύχασαν, ἐσιώπησαν. Ὅρα ἐν Γ 95.

[6] Ἐντράπησαν μὲν νὰ ἀρνηθῶσιν, ἐφοβήθησαν δὲ νὰ δεχθῶσι τὴν πρότασιν εἰς μονομαχίαν. Ἡ πρότασις αὕτη δὲν συνδέεται τῇ προηγουμένῃ, διότι εἶναι ἐπεξήγησις.

[7] Τὸ θάρρος τοῦ Μενελάου ἐξηγεῖται ἐκ τῆς νίκης, ἣν ἤρατο ἐν τῇ μονομαχίᾳ πρὸς τὸν Πάριν.

[8] Ὁ Εὐστάθιος ἑρμηνεύει «στεναχτικῶς ἐλάλει».

α″Ω μοι, ἀπειλητῆρες, [1] Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί·
ἦ [2] μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς,
εἰ μή τις Δαναῶν [3] νῦν Ἕκτορος ἀντίος εἶσιν.
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα [4] γένοισθε,
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι [5], ἀκλεὲς αὕτως·
τῷδε δ' ἐγὼν [6] αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθεν
νίκης πείρατ' [7] ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.»

[1] Ἀπειλητῆρες λέγονται οἱ φοβερίζοντες χωρὶς νὰ ἐκτελῶσι τὰς ἀπειλάς, δηλ. ἀλαζόνες, κομπασταί, καυχηταί. Ἀχαιΐδας πρὸς περιφρόνησιν ὀνομάζει καὶ ὁ Θερσίτης τοὺς Ἀχαιοὺς ἐν Β 235, ὅπου ἰδέ.

[2] Οὕτως δὰ ταῦτα βεβαίως θὰ ἦναι ἀτιμία φοβερωτάτη. Τὸ αἰνόθεν αἰνῶς κεῖται ἀντὶ τοῦ ὑπερθετικοῦ αἰνότατα. Εὕρηται δὲ μόνον ἐνταῦθα.

[3] Δὲν λέγει ὑμῶν, ἀλλὰ Δαναῶν μετ' ἐμφάσεως ἐν ἀντιθέσει πρὸς τὴν δεικνυομένην δειλίαν,

[4] Ὁ φιλόσοφος Ξενοφάνης ἔλεγε· «Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα· ἐκ γῆς γὰρ πάντα, καὶ εἰς γῆν πάντα τελευτᾷ». Βεβαίως ὁ Μενέλαος δὲν ἔχει ὑπ' ὄψει τοιαύτην φιλοσοφικὴν θεωρίαν, ἀλλ' ἁπλῶς μεταχειρίζεται δημοτικὴν φράσιν πρὸς δήλωσιν τοῦ φυσικοῦ θανάτου. Ἐν ἄλλαις λέξεσιν ὁ Μενέλαος λέγει τοῖς ἀρίστοις τῶν Ἀχαιῶν· ἀφ' οὗ δὲν ἔχετε τὸ θάρρος νὰ πέσητε ἐν τῷ πεδίῳ τῆς τιμῆς, περιμείνατε νὰ ἀναλυθῆτε εἰς ὕδωρ καὶ γῆν καθήμενοι ἐδῶ ἄδοξοι.

[5] Ἐκ τοῦ α (στερητ.) καὶ κῆρ, ἄψυχος, μεταφορικῶς δὲ ἄτολμος. Ἀντὶ τοῦ ἐπιρρήματος ἀκλεές, ὁ Döderlein ἀναγινώσκει ἀκλέες = ἀκλεέες, ἀκλεεῖς, ὅπερ δὲν ἐπιδοκιμάζεται.

[6] Περιεμένομεν, ἐγὼ δὲ αὐτός, ἀλλὰ τοιαῦται ἀνωμαλίαι δὲν εἶναι σπάνιαι. Φαίνεται παράδοξον, ὅτι ὁ Μενέλαος ἐν τῷ πεδίῳ τῆς μάχης δὲν εἶναι ὡπλισμένος. Πρὸς ἐξήγησιν ὁ Σχολιαστὴς λέγει· «Φαμέν, ὅτι ἀσφαλέστερα ὅπλα ἀναλαβεῖν θέλει, μέλλων εἰσιέναι εἰς μονομαχίαν». Ὁ Ameis ὅμως ἄλλως ἐξηγεῖ λέγων, ὅτι ὁ Μενέλαος ἦτο μὲν ὡπλισμένος, ἀλλ' ἐν τῇ ἀρχῇ τῶν διαπραγματεύσεων ἐν μέρει ἀπέθετο τὰ ὅπλα. Τούτου δὲν ἐμνημόνευσεν ὁ ποιητής, ἀλλ' ἐννοεῖται.

[7] Ἡ ἔκβασις τῆς μάχης παραβάλλεται πρὸς μίτους, ὧν τὰς ἄκρας κρατοῦσιν οἱ θεοί, ὡς ἐν Ν 358 «τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσ-

Ὣς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά.
ἔνθα κέ τοι, Μενέλαε [1], φάνη βιότοιο τελευτὴ [2]
Ἕκτορος ἐν παλάμῃσιν [3], ἐπεὶ πολὺ φέρτερος ἦεν,
εἰ μὴ ἀναΐξαντες ἔλον [4] βασιλῆες Ἀχαιῶν·
αὐτός τ' Ἀτρεΐδης, εὐρυκρείων Ἀγαμέμνων,
δεξιτερῆς ἕλε χειρὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·

«Ἀφραίνεις [5], Μενέλαε διοτρεφές, οὐδέ [6] τί σε χρὴ
ταύτης ἀφροσύνης· ἀνὰ δέ σχέο [7], κηδόμενός περ,
μηδ' ἔθελ' ἐξ ἔριδος [8] σεῦ ἀμείνονι φωτὶ μάχεσθαι,
Ἕκτορι Πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ' Ἀχιλεὺς [9] τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ

σαν». Ἡ φράσις ἐν θεοῖσιν ἐπεξηγεῖ τὸ ὕπερθεν· ἡ ἔκβασις τῆς μάχης ἐξαρτᾶται ἄνωθεν, δηλαδὴ κεῖται εἰς τὴν ἐξουσίαν τῶν θεῶν.

[1] Διὰ τῆς ἀποστροφῆς ὁ ποιητὴς δηλοῖ τὴν συμπάθειαν αὐτοῦ, ἣν ἔδειξε καὶ ἐν Δ 127.

[2] Ὁ Düntzer δέχεται τὴν γραφὴν θανάτοιο τελευτή, ὡς τέλος θανάτοιο ἐν Γ 309 καὶ Λ 439, διότι τὴν φράσιν βιότοιο τελευτὴ θεωρεῖ πεζήν.

[3] Συνήθως ἡ φράσις συνάπτεται μετὰ παθητικῶν, ὡς ἐν Ε 558 «ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ».

[4] Κατὰ τὸν Düntzer δὲν πρέπει νὰ ἐννοήσωμεν τὴν σέ, ἀλλὰ τὴν μίν, διότι δὲν εἶναι φανερόν, ὅτι ἐξακολουθεῖ ἡ ἀποστροφή.

[5] Ὁ Σχολιαστὴς ἑρμηνεύει· »Παραφρονεῖς, μωραίνεις, ἀσυνετεῖς». Τὴν ἰσχυρὰν ταύτην φράσιν ὑπαγορεύει ἡ πρὸς τὸν ἀδελφὸν ἀγάπη.

[6] Ἐνταῦθα ἔχει ἀντιθετικὴν σημασίαν, ὡς ἐν δ 492 «Ἀτρείδη, τί με ταῦτα διείρεαι; οὐδὲ τί σε χρὴ ἴδμεναι»· καὶ ὅμως δὲν ἔχεις χρείαν κατά τι ταύτης τῆς μωρίας. Ἄξιον σημειώσεως, ὅτι ὁ ποιητὴς ἐνταῦθα τὸ χρὴ συνέταξεν οὐχὶ πρὸς ἀπαρέμφατον, ἀλλὰ πρὸς γενικήν, ὡς συνήθως τὸ δεῖ.

[7] Τὰ ἄριστα χειρόγραφα ἔχουσι ἀνὰ δὲ σχέο καὶ οὐχὶ ἀνὰ δ' ἴσχεο, ὅπερ δέχεται ὁ Düntzer. Καίπερ λυπούμενος ὅμως ἔπεχε.

[8] Σημαίνει ἅμιλλαν, ὡς ἐν δ 343.

[9] Ὅρα, ὅτι τοῦ ἀπόντος Ἀχιλλέως γίνεται μνεία, ἥτις συνδέει τὴν ῥαψῳδίαν μετὰ τῶν ἡγουμένων.

ἔρριγ' [1] ἀντιβολῆσαι, ὅπερ σέο πολλὸν ἀμείνων.
ἀλλὰ σὺ μὲν νῦν ἶζευ ἰὼν μετὰ ἔθνος ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν [2] Ἀχαιοί.
εἴπερ ἀδειής τ' ἐστὶ [3] καὶ εἰ μόθου ἔστ' ἀκόρητος,
φημί [4] μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγῃσιν

[1] Παρακείμενος ἔχων σημασίαν ἑνεστῶτος. ὡς ἐν Ρ 175. Κατὰ τὸ φαινόμενον τὸ χωρίον τοῦτο ἀντιφάσκει πρὸς τὸ ἐν Ι 352 ὅπου Ἀχιλλεὺς λέγει· «ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ, ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν· ἔνθα ποτ' οἷον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν». Τούτου ἕνεκεν τὸ προκείμενον χωρίον θεωρεῖται ὡς μεταγενεστέρα προσθήκη ὑπὸ τοῦ Düntzer καὶ La Roche. Ὁ Nitzsch εἰκάζει, ὅτι τοῦτο συνέβη τὸ κατ' ἀρχὰς ἐν τῇ ἀποβάσει, ὅπερ δὲν φαίνεται πιθανόν. Ὁ Ἀχιλλεὺς πάντως ἐθεώρει γενναῖον τὸν Ἕκτορα, ὁ δὲ Ἀγαμέμνων ἐξαίρει τὸ φοβερὸν τούτου τοῦ ἥρωος μέχρις ὑπερβολῆς, ὅπως ἀποτρέψῃ τὸν ἀδελφὸν τῆς μονομαχίας. Ἐν τοιαύτῃ περιστάσει αἱ ὑπερβολαὶ εἶναι συνήθεις.

[2] Τὸ μὲν ῥῆμα κεῖται ἐν ἀντιθέσει πρὸς τὸ ἶζευ, ὁ δὲ μέλλων δηλοῖ παρήγορον διαβεβαίωσιν.

[3] Ὑποκείμενον εἶναι ὁ Ἕκτωρ. Ὁ ἑπόμενος εἰ ἠδύνατο νὰ παραλειφθῇ, διότι αἱ προτάσεις συνδέονται διὰ τοῦ τέ-καί· ἀλλ' ἐπαναλαμβάνει τοῦτον πρὸς ἔμφασιν. Μόθος σημαίνει ταραχὴν τοῦ πολέμου, ἀγῶνα.

[4] Προηγεῖται τὸ ῥῆμα, διότι λέγεται μετ' ἐμφάσεως, διαβεβαιῶ, διισχυρίζομαι. Διὰ τῆς φράσεως γόνυ κάμψειν δηλοῖ ὁ ποιητὴς τὴν μεγάλην εὐχαρίστησιν, ἣν αἰσθάνεται ὁ φεύγων ἐκ συντόνου καταδιώξεως. Τοῦτο περιέχει πολλὴν ὁμηρικὴν εἰρωνείαν. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἀναπαύσεσθαι, ἢ συγκάψειν τὰ γόνατα διὰ τὸ κεκοπῶσθαι ἐν τῷ διώκεσθαι». Ἡ αὐτὴ ἔννοια ὑπάρχει ἐν Τ 73. Οἱ στίχοι 117—119 διεγείρουσι τὴν ἔκπληξιν, ὅτι ὑπὲρ τὸ δέον ὑποβιβάζουσι τὸν Ἕκτορα, ὅστις πρὸ ὀλίγου ἐλέγετο φοβερὸς καὶ αὐτῷ τῷ Ἀχιλλεῖ. Τούτου ἕνεκεν ὁ Köchly ἀθετεῖ τούτους. Ἀλλ' ὁ Σχολιαστὴς λέγει· «Ταῦτα εἰς προτροπὴν τῶν Ἀχαιῶν». Ὁμολογουμένως ἀντίφασις ὑπάρχει, ἀλλ' αὕτη ψυχολογικῶς ἐξηγεῖται, διότι ὁ Ἀγαμέμνων ἔχει τὸ συμφέρον ἔνθεν μὲν νὰ ἀποτρέψῃ τὸν ἀδελφὸν ἐπικινδύνου ἀγῶνος, ἔνθεν δὲ νὰ εὕρῃ ἀνταγωνιστὴν τοῦ Ἕκτορος. Λοιπὸν κατὰ τὸ ἑκάστοτε συμφέρον ὁμιλεῖ.

δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος [1] ».
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως,
αἴσιμα παρειπών· ὁ δ' ἐπείθετο. τοῦ μὲν ἔπειτα
γηθόσυνοι [2] θεράποντες ἀπ' ὤμων τεύχε' ἔλοντο.
Νέστωρ [3] δ' Ἀργείοισιν ἀνίστατο καὶ μετέειπεν·
»Ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει·
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής,
ὅς ποτέ [4] μ' εἰρόμενος μεγ' ἐγήθεεν [5] ᾧ ἐνὶ οἴκῳ,
πάντων Ἀργείων [6] ἐρέων γενεήν τε τόκον τε. [7]
τοὺς νῦν [8] εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι,
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι [9],
θυμὸν ἀπὸ μελέων [10] δῦναι δόμον Ἄιδος εἴσω.

[1] Ἐὰν φύγῃ ἀπὸ τὸν ὀλέθριον πόλεμον καὶ τὴν φοβερὰν σφαγήν.

[2] Διότι εἶδον, ὅτι ὁ Μενέλαος διέφυγε φοβερὸν κίνδυνον.

[3] Ἐπιτυχῶς ὁ ποιητὴς εἰσάγει τὸν Νέστορα ἐπιπλήσσοντα· διότι οὗτος γέρων ὢν δὲν δύναται νὰ κακισθῇ, ὅτι δὲν ἀνέστη ὡς ἀνταγωνιστὴς τοῦ Ἕκτορος. Ὅτε δ' ἦτο νέος, διεπράξατο τοιαῦτα ἔργα.

[4] Ἐννοεῖ τὸν χρόνον, καθ' ὃν ὁ Νέστωρ καὶ ὁ Ὀδυσσεὺς ἀπῆλθον εἰς τὴν Φθίαν, ὅπως καλέσωσι τὸν Ἀχιλλέα εἰς τὴν στρατείαν, Λ 769.

[5] Ἐν ἀντιθέσει πρὸς τὸ μέγ' οἰμώξειε.

[6] Ὁ Πηλεὺς δὲν ἠρώτα περὶ τοῦ γένους ὅλων τῶν Ἀργείων, ἀλλὰ μόνον περὶ ἐκείνων, οἵτινες ἔμελλον νὰ στρατεύσωσιν ἐπὶ Τροίαν.

[7] Κατά τινας εἶναι συνώνυμα, κατὰ δὲ τὸν Koch σημαίνει τοὺς γονεῖς καὶ υἱούς, δηλ. ὅλους τοὺς συγγενεῖς. Ἡ ῥητορικὴ τοῦ Νέστορος βάλλει πρὸς τὸν σκοπὸν καὶ ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Θαυμασίως τῆς εὐγενείας αὐτοὺς ὑπέμνησεν, οὐχ αὐτὸς ἐπαινῶν τοὺς γονεῖς αὐτῶν, ἀλλὰ Πηλέα». Ὁ Πηλεὺς ἔχαιρεν, ὅτι ὁ υἱὸς αὐτοῦ θέλει στρατεύσει μετὰ γενναίων ἀνδρῶν, νῦν ὅμως θέλει στενάξει, ἂν ἀκούσῃ, ὅτι εἶσθε δειλοί.

[8] Ποιεῖ ἀντίθεσιν πρὸς τὸ προηγούμενον ποτέ. Τὸ ἀκούω μόνον ἐνταῦθα συντάσσεται πρὸς αἰτιατικὴν μετοχῆς, τὸ δὲ πεύθεσθαι ἐν δ 732.

[9] Ἐπειδὴ σημαίνει λίσσεσθαι, δέχεται τὴν αἰτιατικὴν πολλά.

[10] Ἀντὶ νὰ εἴπῃ τοῦ σώματος

αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον [1],
ἤβῳμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντι [2] μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι [3],
Φειᾶς [4] πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ' Ἀρευθαλίων [5] πρόμος ἵστατο, ἰσόθεος φώς,
τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος,
δίου Ἀρηϊθόου [6], τὸν ἐπίκλησιν κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες [7],
οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῷ,
ἀλλὰ σιδηρείῃ κορύνῃ [8] ῥήγνυσκε φάλαγγας.

εἶπε τὰ μέλη, ἅπερ διὰ τῆς κινήσεως ἐκδηλοῦσι τὴν ζωήν.

[1] Τοὺς τρεῖς τούτους θεοὺς ἐπικαλοῦνται μόνον οἱ Ἀχαιοί, οὐχὶ δὲ καὶ οἱ Τρῶες, ὡς παρατηρεῖ ὁ Gladstone.

[2] Ὁ ποταμὸς οὗτος ῥέων ἐποίει κέλαδον ἢ φλοῖσβον, ὡς μαρτυρεῖ τὸ ὄνομα. Ὁ δὲ Παυσανίας ὀνομάζει τοῦτον Κέλαδον VII, 38,7. Κατὰ τὸν Gladstone ὁ Κελάδων πιθανώτατα εἶναι παραποτάμιον τοῦ Ἰαρδάνου· διότι τότε μόνον δύναται νὰ ἐξηγηθῇ, ὅτι ἡ μάχη κατὰ τὸν αὐτὸν χρόνον ἐγίνετο παρὰ τῷ Κελάδοντι καὶ περὶ τὰ ῥεῖθρα τοῦ Ἰαρδάνου. Κατὰ τὸν αὐτὸν πολιτικὸν ἄνδρα ὁ Ἰάρδανος εἶναι παραποτάμιον τοῦ Ἀλφειοῦ, Homer. Stud. σελ. 20.

[3] Ἐξησκημένοι εἰς τὸ δόρυ· περὶ δὲ τοῦ ἐτύμου ὅρα ἐν Β 692.

[4] Λέγεται Φειὰ καὶ Φειαὶ ἐν ο 297. Οἱ ἀρχαῖοι διεφώνουν κατὰ τὸν Σχολιαστήν, ἂν ἡ πόλις ἀνήκῃ τῇ Ἀρκαδίᾳ ἢ τῇ Ἤλιδι· «Φειὰ δὲ πόλις τῆς Ἤλιδος, οἱ δὲ τῆς Ἀρκαδίας, παρ' ἣν ὁ Ἰάρδανος ῥεῖ. Ἀλλὰ ἡ Φειὰ παραθαλάσσιός ἐστι, καὶ Ἰάρδανος οὐχ ὁρᾶται ποταμὸς αὐτόθι». Κατὰ τοὺς νεωτέρους εἶναι πόλις τῆς Ἤλιδος. Ὁ Παυσανίας V, 5, 8 παρατηρεῖ, ὅτι Ἰάρδανος εἶναι τὸ ἀρχαῖον ὄνομα τοῦ Ἀχίδαντος. ἀλλ' οὗτος ῥέει πολὺ πόρρω τῆς Φειᾶς. Παράβαλλ. Στράβ. VIII, 3, 21.

[5] Περὶ Ἐρευθαλίωνος ὅρα Δ 319.

[6] Διὰ τῆς ἐπαναλήψεως ἢ ἐπαναφορᾶς ὁ ποιητὴς σκοπεῖ νὰ διεγείρῃ τὴν προσοχὴν τοῦ ἀκροατοῦ, ὡς ἐν Β 671.

[7] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἔμφασις τοῦ κλέους ὅτι καὶ γυναιξὶν ἐγνώσθη».

[8] Ἐπειδὴ τὸ εἶδος τοῦτο τῆς μάχης εἶναι λίαν ἐπικίνδυνον,

τὸν Λυκόοργος[1] ἔπεφνε δόλῳ, οὔτι κράτεΐγε,
στεινωπῷ ἐν ὁδῷ[2], ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πρὶν[3] γὰρ Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον[4] περόνησεν, ὁ δ' ὕπτιος οὔδει ἐρείσθη[5]. 145
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης.
καὶ τὰ μὲν αὐτὸς ἔπειτ' ἐφόρει μετὰ μῶλον Ἄρηος[6].
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα[7],
δῶκε δ'[8] Ἐρευθαλίωνι, φίλῳ θεράποντι, φορῆναι·
τοῦ ὅγε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους. 150
οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν οὐδέ τις ἔτλη[9].
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ᾧ[10]· γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων·

συμβάλλεται πρὸς σύστασιν τοῦ πολεμιστοῦ.

[1] Ἐκ τοῦ λύκος καὶ ὀργή, ὡς Λυκομήδης, Λυκόφρων. Ὁ Λυκοῦργος οὗτος εἶναι διάφορος τοῦ υἱοῦ τοῦ Δρύαντος, διότι λέγεται υἱὸς τοῦ Ἀλεοῦ, βασιλέως τῆς Ἀρκαδίας.

[2] Ὁ προσδιορισμὸς οὗτος ἐπεξηγεῖ τὸν δόλον τοῦ Λυκούργου. Τὸ δὲ ἄρα σημαίνει φυσικά, ὡς ἦτο ἐπόμενον ἐκ τοῦ στενοῦ χώρου.

[3] Ἐννοεῖται τὸ χραισμεῖν. Τὸ ὑποφθὰς μόνον ἐνταῦθα ἀπαντᾷ, ἀντὶ δὲ τούτου εὕρηται τὸ φθάμενος καὶ ὑποφθάμενος, ο 171 καὶ τ 449. Σημειωτέον, ὅτι ὁ Ἀρίσταρχος ἔγραφεν· ἀναστάς, ὅπερ δὲν εἶναι ἀτυχές. Ὁ Σχολιαστὴς λέγει· «ὅτι ἀντὶ τοῦ ὑποφθάσας Ἰαχῶς. Ἀρίσταρχος δέ φησι καὶ ἀναστάς, οἷον ἐκ λόχου ἀναστάς».

[4] Κατηγορηματικῶς, δηλ. τὸν διετρύπησε μέσον, ἤτοι εἰς τὸ μέσον.

[5] Ἡ φράσις ὑποδηλοῖ τὴν μεγάλην δύναμιν τοῦ διατρυπήσαντος· διότι ὁ τρυπηθεὶς προσεκολλήθη εἰς τὸ ἔδαφος διὰ τοῦ δόρατος. Ὅρα Π 611.

[6] Μῶλος Ἄρηος εἶναι ὁ ἀγών, ἡ μάχη.

[7] Τὸ ἐγήρα δὲν εἶναι παρατατικός, ὡς ἠδύνατό τις νὰ ὑπολάβῃ ἀλλ' ἀόριστος β', ὅστις ἐν τῇ μετοχῇ εἶναι γηράς.

[8] Ὁ σύνδεσμος περιττεύει, ἀλλ' ὁ Ὅμηρος συχνάκις παρεμβάλλει τοῦτον, ὡς ἐν Α 58.

[9] Ἐννοεῖται τὸ ἀπαρέμφατον πολεμίζειν.

[10] Ἡ δοτικὴ εἶναι αἰτιολογική,

καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη[1].
τὸν δὴ μήκιστον καὶ κάρτιστον[2] κτάνον ἄνδρα·
πολλὸς[3] γάρ τις ἔκειτο παρήορος[4] ἔνθα καὶ ἔνθα.
εἴθ' ὡς ἡβώοιμι[5], βίη δέ μοι ἔμπεδος εἴη·
τῷ[6] κε τάχ' ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ.
ὑμέων δ' οἵπερ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἱ[7] προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν.» 160
Ὣς νείκεσσ' ὁ γέρων, οἱ δ' ἐννέα[8] πάντες ἀνέσταν.

ἡ ψυχὴ ἐν τῇ τόλμῃ της, ἐπειδὴ ἦτο τολμηρά. Ἔθηκε δὲ ἐν τῷ τέλει τῆς προτάσεως, ὅπως ποιήσῃ ἀντίθεσιν πρὸς τὴν ἑπομένην.

[1] Ὁ Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ ἐπροστάτευον τὸν οἶκον τοῦ Νέστορος Λ 714.

[2] Τὸ μήκιστον καὶ κάρτιστον εἶναι κατηγορηματικὰ εἰς τὸ ἀντικείμενον· οὗτος βεβαίως ἦτο ὁ μακρότατος καὶ ἀνδρειότατος ἐξ ὅσων ἐφόνευσα.

[3] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἀπὸ τῶν ἀριθμουμένων ἐπὶ τὰ μετρούμενα μεταβαίνει μεγέθη, ὡς τὸ Ψ 245 «τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονεέσθαι ἄνωγα». Ἡ ἀόριστος ἀντωνυμία ἐπιτείνει τὴν σημασίαν τοῦ πολλός, διότι ἐπιτρέπει τῇ φαντασίᾳ, ἵνα δεχθῇ οἱονδήποτε μέγεθος.

[4] Ἐκ τοῦ παραείρω· καὶ ἡ μὲν παραγωγὴ τῆς λέξεως εἶναι ἀναμφισβήτητος, ἡ ἑρμηνεία ὅμως παρέχει πολλὰς δυσκολίας. Συνήθως ἑρμηνεύεται ἐξηπλωμένος, κατὰ δὲ τὸν Σχολιαστὴν ἐκλελυμένος. Κατὰ τὸν Amcis σημαίνει τὸν ἀσπαίροντα, τὸν σφαδάζοντα, ἀλλ' ἡ σημασία αὕτη δυσκόλως δύναται νὰ ἐξαχθῇ ἐκ τῆς παραγωγῆς τῆς λέξεως, καθ' ἣν σημαίνει τὸν παρακρεμάμενον. Ταύτην λοιπὸν τὴν σημασίαν δεχόμεθα, διότι κατὰ τὴν περιγραφὴν τοῦ Νέστορος ὁ διατρυπηθεὶς παρεκρέματο ἐκ τοῦ δόρατος.

[5] Ἐπαναλαμβάνει τὴν ἐν στίχ. 132 εὐχήν, ὅπως συνδέσῃ μετὰ τῶν ἑπομένων.

[6] Τοῦτον ταχέως ἠδύνατο νὰ συναντήσῃ εἰς τὴν μάχην ὁ πολεμιστὴς Ἕκτωρ. Τὸ ἀντᾶν συντάσσεται πρὸς δοτικὴν προσώπου, ὡς ἐνταῦθα, καὶ πρὸς γενικήν, ὡς ἐν Π 423.

[7] Ὅρα τὴν ἀλλαγὴν τῶν προσώπων· ὁ ποιητὴς ἢ κατὰ τὸ ἔασιν ὤφειλε νὰ εἴπῃ μεμάασιν, ἢ κατὰ τὸ μέματε νὰ εἴπῃ οἵ ἐστε. Καὶ ἀλλαχοῦ ἀντωνυμία τρίτου προσώπου φέρεται πρὸς ῥῆμα δευτέρου, ὡς Κ 82· «Τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἷος ;».

[8] Ἐν συνόλῳ ἦσαν ἐννέα. Ὁ

ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων[1],
τῷ δ' ἐπὶ[2] Τυδείδης ὦρτο κρατερὸς Διομήδης,
τοῖσι δ' ἐπ' Αἴαντες, θοῦριν ἐπιειμένοι[3] ἀλκήν,
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ[4] ἀνδρειφόντῃ,
τοῖσι δ' ἐπ' Εὐρύπυλος[5], Εὐαίμονος ἀγλαὸς υἱός,
ἂν δὲ Θόας[6] Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς·
πάντες ἄρ'[7] οἵγ' ἔθελον πολεμίζειν Ἕκτορι δίῳ.
τοῖς δ' αὖτις μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
«Κλήρῳ νῦν πεπάλασθε[8] διαμπερές, ὅς κε λάχῃσιν·

ἀριθμὸς οὗτος εἶναι προσφιλὴς τῷ Ὁμήρῳ καὶ τοῖς συγχρόνοις αὐτοῦ Α 53, Ζ 174, Β 96 καὶ πολλαχοῦ. Καὶ ἐν Ἀθήναις ὁ ἀριθμὸς ἦτο ἱερός, ὡς δεικνύει ὁ τῶν ἐννέα ἀρχόντων. Ἴσως ἡ ἱερότης ἀπεδίδετο τῷ ἀριθμῷ, διότι οὗτος ἀποτελεῖται ἐκ τριῶν τριάδων. Παρετηρήθη, ὅτι ἡ λέξις ἐννέα εἶναι συγγενὴς πρὸς τὴν νέος οὐ μόνον ἐν τῇ ἑλληνικῇ, ἀλλὰ καὶ ἐν ταῖς γλώσσαις ταῖς παραχθείσαις ἐκ τῆς Ῥωμαϊκῆς, ἐν τῇ Γερμανικῇ καὶ ταῖς συγγενέσι ταύτης.

[1] Ὀρθῶς παρατηρεῖ ὁ Εὐστάθιος. «Εἰκότως δὲ προανίσταται, ἵνα μὴ φιλοψυχεῖν δόξῃ ὁ τὸν ἀδελφὸν ἤδη κωλύσας τοῦ μονομαχῆσαι, καί ποθεν ἀκούσῃ ὡς, εἴπερ οἱ βασιλεῖς ἀπόμαχοι φιλοῦσιν εἶναι, τί δὴ τοὺς ἄλλους εἰς κίνδυνον παραβάλλονται;»

[2] Δὲν ὑπάρχει ἀναστροφὴ ἕνεκα τοῦ παρεμπεσόντος συνδέσμου. Ἡ πρόθεσις σημαίνει τὸ ὕστερον, ὡς ἐν συνθέσει ἐπίγονοι = οἱ ὕστερον γεννηθέντες.

[3] Ἡ φράσις ὑποδεικνύει, ὅτι ἡ ἀλκὴ δὲν λανθάνει, ἀλλ' εἶναι ὁρατὴ καὶ ἔξωθεν, ὡς ἀναιδείην ἐπιειμένε Α 149.

[4] Κυρίως εἶναι ἐπίθετον τοῦ Ἄρεως καὶ σημαίνει τὸν φονικόν, ὡς καὶ τὸ Ἐνυὼ σημαίνει τὴν φονικὴν ἐκ τοῦ ἐνύω, ἔνω = φονεύω.

[5] Ὁ Εὐρίπυλος ἦτο βασιλεὺς τοῦ Ὀρμενίου στρατευσάμενος ἐπὶ Τροίαν μετὰ τεσσαράκοντα νηῶν, Β 736.

[6] Βασιλεὺς τῶν Αἰτωλῶν, ὅστις διεκρίνετο οὐ μόνον ἐν τῇ μάχῃ, ἀλλὰ καὶ ἐν τῇ ἀγορᾷ Β 638.

[7] Οὗτοι λοιπὸν ὅλοι.

[8] Ὁ Ἀρίσταρχος καὶ ὁ Ἡρωδιανὸς γράφουσι πεπάλασθε καὶ πεπαλάσθαι καὶ οὐχὶ πεπάλαχθε καὶ πεπαλάχθαι. Τὴν γραφὴν ταύτην ὁ Bekker εἰς

οὗτος γὰρ δὴ ὀνήσει[1] ἐϋκνήμιδας Ἀχαιούς·
καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται[2], αἴ κε φύγῃσιν
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.»
Ὣς ἔφαθ', οἱ δὲ κλῆρον ἐσημήναντο[3] ἕκαστος, 175
ἐν δ' ἔβαλον κυνέῃ[4] Ἀγαμέμνονος Ἀτρείδαο.

τὸ κείμενον εἰσαγαγὼν εὗρε μιμητὰς τοὺς πλείστους τῶν νεωτέρων ἐκδοτῶν. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «κλήρῳ διακληρώσασθε». Ὅρα, ὅτι ὁ συνετώτατος Νέστωρ τὴν ἐπιλογὴν τοῦ ἀρίστου ἐπιτρέπει τῇ τύχῃ, ἵνα μὴ ἐπιλεξάμενος ἕνα τινὰ τοὺς λοιποὺς λυπήσῃ. Τὸ διαμπερὲς σημαίνει πέρα καὶ πέρα, δηλ. ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τελευταίου. Κατὰ τὸν Ameis τὸ ἑπόμενον ὅς εἶναι ἀναφορικὸν καὶ οὐχὶ ἐρωτηματικόν. Ὁ Döderlein ὅμως μετὰ τὴν λέξιν διαμπερὲς ἄνω στιγμὴν τιθεὶς θεωρεῖ ὡς σχῆμα ἀναντα-πόδοτον, ὁηλ. διαμπερές· ὃς λάχῃσιν· ἐννοεῖται δὲ γηθείτω ἢ τούτῳ καλῶς ἔξει. Τοῦτο ὅμως δὲν φαίνεται πιθανόν.

[1] Διότι οὗτος θὰ προξενήσῃ χαρὰν εἰς τοὺς καλὰς περικνημῖδας ἔχοντας Ἀχαιούς.

[2] Ἐνταῦθα βεβαίως πρόκειται περὶ ἥττης τοῦ κληρωθέντος, ὡς μαρτυρεῖ ἡ ἑπομένη φράσις, ἥτις σημαίνει, ὅ τι καὶ ἐν στίχ. 118. Ὁ ἡττηθεὶς θέλει εὐχαριστηθῇ διὰ τὴν σωτηρίαν αὐτοῦ. Ἀλλ' ἡ ἀτιμία δὲν λαμβάνεται ὑπ' ὄψει; Διὰ τί νὰ μνησθῇ τῆς φυγῆς; Οἱ ἀρχαῖοι, ὡς λέγει ὁ Σχολιαστής, ἐθεώρουν ὕποπτον τὸν στίχον· «Ἄλλως μέντοι γε ὕποπτος οὗτος ὁ στίχος ἦν· δυσέλπιδας γὰρ τούτους ποιεῖ». Καὶ οἱ νεώτεροι περὶ τῆς γνησιότητος τούτου ἀμφιβάλλουσιν.

[3] Διὰ τοῦ ἐσημήναντο καὶ τοῦ ἐπιγράψας δὲν ἐννοεῖ ὁ ποιητὴς γραφήν, ἀλλὰ μόνον, ὅτι οἱ ἥρωες ἐποίησαν σημεῖα, ὡς παρατηρεῖ καὶ ὁ Εὐστάθιος· «Οὐ γράμματα δὲ νοητέον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δέ τινα, ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ εὐτελεῖ, λιθιδίῳ τυχὸν ἢ ξυληφίῳ ἢ τοιούτῳ τινί». Ἂν δὲ ὁ ποιητὴς ἐνόει γραφήν, δὲν ἔπρεπε νὰ εἴπῃ ἐν στίχ. 185 οὐ γιγνώσκοντες ἀπηνήναντο, ἀλλ' ἄνευ τοῦ οὔ· ἀναγιγνώσκοντες ἠρνοῦντο. Πλείονα ὅρα ἐν Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 104. Τὸ ἕκαστος κεῖται ὡς παράθεσις τοῦ ὑποκειμένου, ὡς καὶ ἐν Α 606.

[4] Κυρίως εἶναι ἐπίθετον (χύνεος) ἐννοουμένου τοῦ οὐσιαστικοῦ δορά. Σημαίνει δὲ τὴν περικεφαλαίαν, διότι ἐκ τοιούτου δέρματος κατεσκευάζετο.

λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον·
ὧδε δέ τις εἶπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
«Ζεῦ πάτερ, ἢ Αἴαντα[1] λαχεῖν, ἢ Τυδέος υἱόν,
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο[2] Μυκήνης.»
Ὣς ἄρ' ἔφαν, πάλλεν δὲ Γερήνιος ἱππότα Νέστωρ[3]
ἐκ δ' ἔθορε κλῆρος κυνέης, ὃν ἄρ'[4] ἤθελον αὐτοί,
Αἴαντος[5]· κῆρυξ δέ, φέρων ἀν' ὅμιλον ἁπάντη
δεῖξ' ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν.
οἱ δ' οὐ γιγνώσκοντες[6] ἀπηνήναντο ἕκαστος.
ἀλλ' ὅτε δὴ τὸν ἵκανε φέρων[7] ἀν' ὅμιλον ἁπάντη,
ὅς μιν ἐπιγράψας κυνέῃ βάλε, φαίδιμος Αἴας[8],
ἦτοι ὑπέσχεθε[9] χεῖρ', ὁ δ' ἄρ' ἔμβαλεν ἄγχι παραστάς,
γνῶ δὲ κλήρου σῆμα ἰδών, γήθησε δὲ θυμῷ[10].
τὸν μὲν πὰρ πόδ' ἑὸν χαμάδις βάλε φώνησέν τε·

[1] Τοὺς τρεῖς τούτους θεωρεῖ ὡς τοὺς ἀνδρειοτάτους τῶν Ἀχαιῶν.

[2] Αἱ πρὸ ὀλίγου χρόνου γενόμεναι ἀνασκαφαὶ ἐξέπληξαν πάντας διὰ τὸν πολὺν χρυσὸν τὸν εὑρεθέντα ἐν Μυκήναις. Οὕτως ἐβεβαιώθη πάλιν ἡ τοῦ ποιητοῦ μαρτυρία.

[3] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὡς μὴ κακουργηθῆναί τι περὶ τὸν κλῆρον· πιστότατος γὰρ οὗτος ἦν περὶ τῶν ἄλλων».

[4] Ἐξεπήδησε δὲ ἐκ τῆς περικεφαλαίας ὁ κλῆρος, τὸν ὁποῖον ἴσια ἴσια οἱ ἴδιοι ἤθελον.

[5] Τὸ ὄνομα τοῦ Αἴαντος λέγεται μετ' ἐμφάσεως.

[6] Ἐννοεῖται τὸ ἀντικείμενον κλῆρον, ὡς καὶ εἰς τὸ ἀπηνήναντο. Οὗτοι ὅμως ἐπειδὴ ὃὲν ἀνεγνώριζον τὸν κλῆρον, ἠρνοῦντο τοῦτον. Τοῦτο δὲ ἐγίνετο, διότι τὸ ἐπὶ τοῦ κλήρου σημεῖον ἦτο αὐτοῖς ἄγνωστον.

[7] Ἐπαναλαμβάνει τὴν μετοχὴν πρὸς δήλωσιν, ὅτι τὸ ἐνταῦθα λεγόμενον εἶναι ἐξακολούθησις τῆς ἡγουμένης ἐνεργείας.

[8] Ἡ παράθεσις συνετάχθη πρὸς τὴν ἀναφορικὴν πρότασιν καὶ οὐχὶ πρὸς τὴν αἰτιατικὴν τόν, διότι χρησιμεύει καὶ ὡς ὑποκείμενον τῆς ἑπομένης προτάσεως.

[9] Ὁ Αἴας ἐκράτησε κάτωθεν τὴν δεξιὰν ὑπτίαν πρὸς ὑποδοχὴν τοῦ κλήρου.

[10] Κατὰ τὸν Εὐστάθιον σημαίνει· «Ἀντὶ τοῦ ἐκ ψυχῆς, καὶ οὐ κατά τι ἐπιπόλαιον καὶ προσποίητον».

«Ὦ φίλοι, ἦτοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτός[1]
θυμῷ, ἐπεὶ δοκέω[2] νικησέμεν Ἕκτορα δῖον.
ἀλλ' ἄγετ', ὄφρ' ἂν ἐγὼ πολεμήϊα τεύχεα δύω,
τόφρ' ὑμεῖς εὔχεσθε Διὶ[3] Κρονίωνι ἄνακτι
σιγῇ ἐφ' ὑμείων[4], ἵνα μὴ Τρῶές γε πύθωνται, 195
ἠὲ καὶ ἀμφαδίην[5], ἐπεὶ οὔτινα[6] δείδιμεν ἔμπης·
οὐ γάρ τίς με βίῃ[7] γε ἑκὼν ἀέκοντα δίηται[8],

[1] Χαίρω καὶ ἐγὼ ὁ ἴδιος, ὡς χαίρετε καὶ ὑμεῖς.

[2] Ἐν τῷ ῥήματι τούτῳ οἱ ἀρχαῖοι ἀνεύρισκον μετριοφροσύνην τοῦ ἥρωος.

[3] Ὁ Ζεὺς εἶναι ταμίας πολέμοιο, Β 412.

[4] Καθ' ὑμᾶς αὐτούς, μόνοι σας, ὡς παρ' Ἡροδότ. ΙΙ, 2· «Ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ' ἑωυτῶν κεέσθαι αὐτά» καὶ ΙΧ, 17.

[5] Αἰτιατικὴ τοῦ ἀμφαδίη περιπεσοῦσα εἰς ἐπιρρηματικὴν σημασίαν, ἀναφανδόν, φανερά. Ὁ Αἴας ἠθέλησε νὰ εὐχηθῶσιν οἱ Ἀχαιοὶ οὐχὶ μεγαλοφώνως, ὅπως μὴ οἱ Τρῶες δι' ἐναντίων εὐχῶν ματαιώσωσι τὴν εὐχὴν αὐτῶν. Παρατηρήσας ὅμως, ὅτι τὸ τοιοῦτον ἠδύνατο νὰ ἐξηγηθῇ ὡς ἔλλειψις θάρρους, μεταβάλλει γνώμην καὶ κελεύει, ὅπως εὐχηθῶσι μεγαλοφώνως. Κατὰ τὸν Σχολιαστὴν ὅμως οἱ πέντε στίχοι (195—199) ὑπὸ τῶν ἀρχαίων δὲν ἐθεωροῦντο ὡς γνήσιοι· «Ἀθετοῦνται, ὅτι οὐ κατὰ τὸν Αἴαντα οἱ λόγοι καὶ ἑαυτῷ ἀνθυποφέρει γελοίως». Τὰ ἐνταῦθα ὅμως λεγόμενα περιέχουσι φυσικὴν ἀλήθειαν καὶ δὲν εἶναι ἀνάρμοστα τοῖς ἥρωσιν.

[6] Δὲν φοβούμεθα κανένα μηδὲ τοῦ Ἕκτορος ἐξαιρουμένου. Τὸ ῥῆμα μετεχειρίσθη κατὰ πληθυντικὸν ἀριθμὸν καίπερ κυρίως μόνον περὶ τοῦ Αἴαντος προκειμένου. Τὸ ἔμπης ἔχει ἀντιθετικὴν σημασίαν· διότι κανένα δὲν φοβούμεθα πάλιν, δηλ. καὶ ἂν μᾶς ἀκούσωσιν.

[7] Τὸ βίῃ μετὰ τοῦ ἀέκοντα ἐξαίρει τὴν βιαίαν ἀπαγωγήν· τὸ δὲ ἑκὼν ὁ Ἀρίσταρχος καὶ ἄλλοι τῆς ἀρχαιότητος κριτικοὶ ἔτρεπον εἰς ἑλών. Ἀλλὰ πιθανωτέρα εἶναι ἡ συνήθης παράθεσις ὡς ἀπαντῶσα καὶ παρ' Ὁμήρῳ καὶ παρὰ τοῖς ἔπειτα ποιηταῖς, ὡς Δ 43· «Δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ» καὶ ε 155· «Οὐκ ἐθέλων ἐθελούσῃ».

[8] Δὲν ἔθηκε μέλλοντα τῆς ὁριστικῆς, ἀλλ' ὑποτακτικήν, ὅπως δηλώσῃ τὴν προσδοκίαν· διότι κανεὶς δὲν θὰ μ' ἀποδιώξῃ μὲ τὴν βίαν βέβαια θέλων (νὰ μ' ἀποδιώξῃ) χωρὶς νὰ θέλω (νὰ διωχθῶ).

οὐδέ τι ἰδρείῃ [1], ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως
ἔλπομαι [2] ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.»
Ὣς ἔφαθ', οἱ δ' εὔχοντο Διὶ Κρονίωνι ἄνακτι·
ὧδε δέ τις εἶπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
«Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
δὸς νίκην Αἴαντι καὶ [3] ἀγλαὸν εὖχος ἀρέσθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ,
ἴσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον [4].»
Ὣς ἄρ' ἔφαν, Αἴας δὲ κορύσσετο νώροπι [5] χαλκῷ.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροΐ ἔσσατο τεύχεα,
σεύατ' [6] ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης,
ὅς τ' εἶσιν πολεμόνδε μετ' ἀνέρας, οὕς τε Κρονίων [7]
θυμοβόρου [8] ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι.

[1] Ἰδρείῃ πολεμοιο = ἐμπειρίᾳ πολέμου. Ὀρθῶς δὲ λέγει ὁ Σχολιαστής· «Ἐκ δυοῖν γὰρ ἡ νικη προσγίνεται, ἀνδρείας καὶ πολυπειρίας, ὧν τὸ μὲν ὡς ἐγνωσμένον παρῆκε, τὸ δὲ ἐξῆς ἐπεξεργάζεται». Ἡ φράσις οὐδ' ἐμὲ λέγεται ἐν σχέσει πρὸς τὸν Ἕκτορα. Τὸ δὲ νῆις παραγόμενον ἐκ τοῦ νή-εἰδέναι σημαίνει τὸν μὴ εἰδότα, τὸν ἄπειρον. Ἀντὶ τοῦ οὕτως ὁ Döderlein εἰκάζει αὕτως, ὅπερ δὲν εἶναι ἀτυχές.

[2] Τοῦτο λέγεται εἰρωνικῶς, διότι ὁ Αἴας ὁμιλεῖ μετ' ἀμφιβολίας περὶ πράγματος, ὅπερ ἀκριβῶς γινώσκει.

[3] Διὰ τοῦ συνδέσμου δυνάμεθα ἢ νὰ συνδέσωμεν τὸ νίκην καὶ ἄρεσθαι, ἢ τὸ νίκην καὶ εὖχος, τὸ δὲ ἑπόμενον ἀπαρέμφατον νὰ ἐξηγήσωμεν, ὥστε ἄρεσθαι αὐτά.

[4] Τοῦτο εἶναι οἱονεὶ προέκθεσις τοῦ μέλλοντος γενέσθαι.

[5] Κατά τινα ἀρχαίαν παραγωγὴν ἐκ τοῦ νὴ — ὁράω· σημαίνει δὲ ἐκεῖνον, πρὸς ὃν δὲν δύναταί τις νὰ ἀποβλέψῃ ἕνεκα τῆς λαμπρότητος. Ἄρα σημαίνει τὸν στιλπνόν, τὸν λαμπρόν, ὡς καὶ τὸ ἠνοψ.

[6] Μέσος ἀόρ. β' τοῦ σεύω, ἐξώρμησεν. Τὸ σημεῖον τῆς παραβολῆς τοῦ Αἴαντος πρὸς τὸν Ἄρη κεῖται ἐν τῷ πελώριος.

[7] Ὁ Ζεὺς βάλλει νὰ πολεμῶσι, διότι οὗτος εἶναι ὁ ταμίας τοῦ πολέμου.

[8] Θυμοβόρος ἔρις λέγεται ἡ τρώγουσα τὴν καρδίαν, ἡ ὀλεθρία.

τοῖος ἄρ' Αἴας ὦρτο πελώριος, ἕρκος [1] Ἀχαιῶν,
μειδιόων [2] βλοσυροῖσι προσώπασι· νέρθε [3] δὲ ποσσίν
ἤϊε μακρὰ βιβάς [4], κραδάων δολιχόσκιον ἔγχος.
τὸν [5] δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰσορόωντες,
Τρῶας [6] δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον, 215
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν [7].

[1] Ὁ Πλάτων ἐν Σοφιστ. 220 λέγει· «Πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργῃ τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν». Σημαίνει λοιπὸν τὸ περίφραγμα τῶν Ἀχαιῶν, ὅπερ λέγεται πρὸς μεγίστην τιμὴν τοῦ Αἴαντος.

[2] Κατ' ἐπικὴν ἐπέκτασιν ἀντὶ μειδιῶν. Εὐφυῶς λέγει ὁ Σχολιαστής· «Πολλὰ δὲ τεκμήρια τῆς τοῦ Αἴαντος γενναιότητος· καὶ λαχὼν γὰρ ἥσθη, πλησίον δὲ ὢν τοῦ δεινοῦ μειδιᾷ, οὐ γελᾷ· τὸ μὲν γὰρ γελᾶν θρασύτητος καὶ ἀφροσύνης, τὸ δὲ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπίας δὲ φαιδρότερον, ἐκπλῆττον Ἕκτορα, θρασῦνον δὲ τοὺς φίλους». Περὶ δὲ τοῦ ἐτύμου καὶ τῆς σημασίας τοῦ ἐπιθέτου ὑπάρχει διαφωνία. Ὁ Curtius θεωρεῖ τοῦτο συγγενὲς τοῦ βλάστη, βλωθρὸς καὶ κατὰ τὴν παραγωγὴν ταύτην σημαίνει τὸν σφριγῶντα· ὁ δὲ Döderlein σχετίζει μετὰ τοῦ βλέπειν καὶ βλεμεαίνειν καὶ οὕτω σημαίνει τὸν ἔχοντα ἐκφραστικὸν βλέμμα. Τὸ ἔτυμον ἔστω οἱονδήποτε, ἡ σημασία ὅμως τῶν ἀρχαίων δεινός, φοβερὸς εἶναι πιθανωτέρα, ὡς μαρτυρεῖ καὶ τὸ βλοσυρῶπις ἐν Λ 36 «τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε». Οὕτω τὸ μειδίαμα ἐπὶ τοῦ φοβεροῦ προσώπου ἔχει τι ἥμερον καὶ γενναῖον. Ὁ δὲ τύπος προσώπατα ἀντὶ τοῦ πρόσωπα ὑπάρχει καὶ ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ καὶ εἶναι ἀνάλογος πρὸς τὸ ἀλόγατα.

[3] Τὸ νέρθε, ὅπερ ἐπεξηγεῖται διὰ τοῦ ποσσίν, ἀντιτίθεται πρὸς τὸ προσώπασι.

[4] Τὸ ποιεῖν μακρὰ βήματα δηλοῖ τὸ θάρρος τοῦ ἥρωος, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «Ἀντὶ τοῦ διιστῶν εἰς μῆκος πολὺ τὰ σκέλη διὰ θάρσος, ἀνάπαλιν ἔχει πρὸς τό, ὀλίγον γόνυ γουνὸς ἀμείβειν, ὃ καὶ ἐπὶ σκέλος χωρεῖν λέγεται».

[5] Εἶναι ἀντικείμενον τοῦ εἰσορόωντες.

[6] Ἀντὶ νὰ εἴπῃ γυῖα Τρώων· τὸ δὲ ἕκαστον εἶναι παράθεσις εἰς τὸ Τρῶας.

[7] Καὶ αὐτοῦ δὲ τοῦ Ἕκτορος ἡ καρδία ἐκτύπα εἰς τὰ στήθη, ὡς ἐν Ν 282 «ἐν δὲ τὲ οἱ κραδίῃ μεγάλα στέρνοισι πατάσσει».

ἀλλ' οὔ πως ἔτι εἶχεν [1] ὑποτρέσαι οὐδ' ἀναδῦναι
ἀψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ.
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος [2] ἠΰτε πύργον,
χάλκεον ἑπταβόειον [3], ὅ οἱ Τυχίος κάμε τεύχων, 220
σκυτοτόμων [4] ὄχ' ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων·
ὅς οἱ ἐποίησεν σάκος αἰόλον [5] ἑπταβόειον,
ταύρων [6] ζατρεφέων, ἐπὶ δ' ὄγδοον [7] ἤλασε χαλκόν.
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας
στῆ ῥα μάλ' Ἕκτορος ἐγγύς [8], ἀπειλήσας δὲ προσηύδα.

[1] Ἀλλὰ κατ' οὐδένα τρόπον ἠδύνατο πλέον νὰ φύγῃ· διότι τοῦτο δὲν τὸ ἐπέτρεπεν ἡ τιμή του. Ἔπραξεν ὅμως ὁ θρασύδειλος Πάρις ἐν Γ 30.

[2] Ἐκ τοῦ σάττω καὶ σημαίνει τὸ μέγιστον εἶδος τῶν ἀσπίδων.

[3] Ἐκπλήσσεταί τις ἀναλογιζόμενος τὸ μέγα βάρος, ὅπερ ἔπρεπε νὰ ἔχῃ ἡ ἀσπὶς τοῦ Αἴαντος. Κοινὸς ἄνθρωπος χομίζων ταύτην ἤθελεν ὁμοιάζει πρὸς ἀχθοφόρον. Ἀλλὰ καὶ περὶ τοῦ πελωρίου τούτου ἥρωος ὁ ποιητὴς λέγει ἐν Η 106 «ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν, ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον». Τὸ ὄνομα Τυχίος παράγεται ἐκ τοῦ τεύχω, ὅπερ παρέθηκε πρὸς δήλωσιν τῆς παραγωγῆς.

[4] Εἶναι σύνθετον ἐκ τοῦ σκῦτος καὶ τέμνω καὶ σημαίνει τὸν κόπτοντα δέρματα, μάλιστα κατειργασμένα. Ἡ Ὕλη ἔκειτο ἐν Βοιωτίᾳ παρὰ τῇ Κωπαΐδι, Β 500.

[5] Αἰόλος εἶναι ὁ στίλβων, ὁ ἐξαστράπτων. Κατὰ τὸν Εὐστάθιον ἑπταβόειον εἶναι τὸ ἑπτάβυρσον· ὡς δὲ ἐλέφας λέγεται τὸ ζῷον καὶ τὸ ἐλεφάντινον ὀστοῦν, οὕτω βοῦς σημαίνει καὶ τὰ δύω. Καὶ οἱ κοινοὶ ἄνθρωποι λέγουσιν ἁλουποῦδες ἀντὶ νὰ εἴπωσιν ἁλουποτόμαρα.

[6] Ἐπεξηγεῖ τὸ ἑπταβόειον, ὡσεὶ προηγεῖτο ἑπτὰ βοῶν. Τὸ δὲ ζατρεφὴς σημαίνει τὸν εὐτραφῆ, τὸν καλῶς τεθραμμένον. Ὁ ἔπαινος τῶν βοῶν ἐγένετο χάριν τῶν δερμάτων αὐτῶν, καὶ δὴ τοῦ ἀμυντικοῦ ὅπλου.

[7] Ὡς ὄγδοον δὲ ἐξήπλωσε χαλκόν. Ἡ περιγραφὴ τῆς ἀσπίδος τοῦ Αἴαντος ὄντως εἶναι μακρά, ἀλλ' ἦτο πολυθρύλητος, μνημονεύεται πολλαχοῦ, ἡ μνήμη τούτου τοῦ ἥρωος μετὰ τοῦ σάκους συνδέεται καὶ δὴ ὁ υἱὸς αὐτοῦ ὠνομάσθη Εὐρυσάκης διὰ τὸ σάκος τοῦ πατρός.

[8] Τοῦτο ὑποδηλοῖ τὸ θάρρος τοῦ ἥρωος.

«Ἕκτορ, νῦν μὲν δὴ σάφα εἴσεαι [1] οἰόθεν οἷος 226
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες [2] μετέασιν,
καὶ μετ' Ἀχιλλῆα [3] ῥηξήνορα θυμολέοντα.
ἀλλ' ὁ μὲν [4] ἐν νήεσσι κορωνίσι ποντοπόροισιν
κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι, ποιμένι λαῶν, 230
ἡμεῖς [5] δ' εἰμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν,
καὶ πολέες [6]. ἀλλ' ἄρχε [7] μάχης ἠδὲ πτολέμοιο.»

[1] Ἔθηκε τὸν μέλλοντα πρὸς χλευαστικὴν διαβεβαίωσιν. Περὶ τῆς ἑπομένης φράσεως ὁ Εὐστάθιος λέγει· «Μιμεῖται δὲ ἐν τούτοις ἀγωνιῶντα ὁ ποιητὴς τὸν Αἴαντα καὶ διὰ τοῦτο τὸν λόγον εἰς ταὐτολογίαν ἄγει παρηχητικήν».

[2] Τὸν στίχον τοῦτον λέγει ὁ Αἴας ἐν σχέσει πρὸς τὴν φράσιν τοῦ Ἕκτορος 73 «ὑμῖν δ' ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν».

[3] Καὶ τὸ χωρίον τοῦτο χρησιμεύει, ὅπως συνδέσῃ τὸν ἥρωα τοῦ ἔπους μετὰ τῆς ῥαψῳδίας. Ἡ φράσις αὕτη τοῦ Αἴαντος περιέχει τὴν ἔμμεσον προσβολήν, ὅτι μόνη ἡ ἀπουσία τοῦ Ἀχιλλέως ἐνέπνευσε τῷ Ἕκτορι τὸ θάρρος, ὅπως προκαλέσῃ εἰς μονομαχίαν. Τὸ δὲ ῥηξήνωρ σύνθετον ὂν ἐκ τοῦ ῥήγνυμι καὶ ἀνήρ σημαίνει τὸν διασπῶντα τὰς φάλαγγας τῶν ἀνδρῶν.

[4] Ὁ στίχος οὗτος μετὰ τοῦ ἑπομένου ὑπάρχει καὶ ἐν Β 771 καὶ 772. Τινὲς τῶν ἀρχαίων ἐνόμιζον, ὅτι οὔτε ἀναγκαῖον, οὔτε ἴδιον φρονίμου ἀνδρὸς ἦτο νὰ ἐξαγγείλῃ τοῖς πολεμίοις τὰ οἰκεῖα κακά. Κατὰ τὸν Σχολιαστὴν ὁ Σταγειρίτης ἐξήγει οὕτωσὶ τὴν ἀπορίαν· «Ἀριστοτέλης δέ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους». Ἀλλ' οἱ Τρῶες γινώσκουσι τὴν μῆνιν τοῦ Ἀχιλλέως ἐκ τοῦ λόγου τοῦ Ἀπόλλωνος ἐν Δ 512. Τὸ χωρίον τοῦτο ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἑπόμενον· ἂν καὶ ὁ Ἀχιλλεὺς εἶναι ἀπών, ὅμως ἡμεῖς εἴμεθα τοιοῦτοι, ὥστε δυνάμεθα νὰ πολεμήσωμεν πρὸς σέ.

[5] Ἡμεῖς οἱ ἄλλοι ἀριστεῖς πλὴν τοῦ Ἀχιλλέως.

[6] Καὶ μάλιστα πολλοί· τοῦτο λέγεται μετ' ἐμφάσεως.

[7] Ἐν τῇ μονομαχίᾳ τοῦ Πάριδος καὶ Μενελάου ὁ κλῆρος ὁρίζει, ὁπότερος θέλει ῥίψει τὸ ἔγχος ἐν Γ 366. Ἐνταῦθα ὁ Αἴας λέγων τῷ Ἕκτορι νὰ ἄρξηται τῆς μάχης λαμβάνει αὐτὸς τὰ πρωτεῖα τῆς πείρας καὶ τῆς ἡλικίας, ὡς γίνεται δῆλον ἐν Φ 439 «ἄρχε· σὺ γὰρ γενεῇφι νεώτερος· οὐ γὰρ

Τὸν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
«Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
μήτι μευ ἠΰτε παιδὸς [1] ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικός, ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα.
αὐτὰρ [2] ἐγὼν εὖ οἶδα μάχας τ' ἀνδροκτασίας τε·
οἶδ [3] ἐπὶ δεξιά, οἶδ ἐπ' ἀριστερὰ νωμῆσαι βῶν [4]
ἀζαλέην [5], τό μοι ἐστι ταλαύρινον πολεμίζειν·

ἔμοιγε καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα».

[1] Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Συνεῖδε καὶ ὁ Ἕκτωρ ὅτι μεμφόμενος καὶ καταπλήττων αὐτὸν ἄρχειν κελεύει τῆς μάχης». Τὸ μὲν θετικὸν ἀφαυρὸς μόνον ἐνταῦθα ἀπαντᾷ, τὸ συγκριτικὸν δὲ καὶ ὑπερθετικὸν εὕρηται συνηθέστερον. Τὸ ἔτυμον τῆς λέξεως εἶναι ἀμφίβολον. Συνήθως θεωρεῖται συγγενὲς τοῦ φαῦλος καὶ παῦρος. Ὅρα λεξ. Ebeling ἐν λ. Σημαίνει δὲ ὀλιγοδρανῆ, ἀδύνατον.

[2] Ἐγὼ ὅμως γνωρίζω καλὰ τὰς μάχας καὶ τὰς αἱματοχυσίας.

[3] Ἐπεξηγηματικὴ ἀναφορὰ ἐπεξηγοῦσα τὸ οἶδα μάχας εἰδικώτερον.

[4] Ὁ μὲν Ἀρίσταρχος ἔγραφε βῶν, ὁ δὲ Ἀριστοφάνης βοῦν καὶ ὁ Ἡρωδιανὸς βῶ. Τὰ ἄριστα χειρόγραφα ἀκολουθοῦσι τῇ τοῦ Ἀριστάρχου γραφῇ, βῶν, ὅπερ πιθανῶς εἶναι Αἰολισμὸς ἀντὶ βοῦν. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Τοῦτο ἐξήγησίς ἐστι τοῦ σακέσπαλος».

[5] Ἀζαλέος ἐκ τοῦ ἄζω παραγόμενον σημαίνει τὸν ξηρόν. Βοῦς δὲ ἀζαλέη λέγεται ἡ ἀσπίς· διότι κατεσκευάζετο ἐκ βοείων δερμάτων. Τὸ ἑπόμενον τὸ ὁ Ἀρίσταρχος ἀνέφερεν εἰς τὸ θηλυκὸν βῶν· τὸ γένος κατ' αὐτὸν μετεβλήθη πρὸς τὸ σημαινόμενον, ὡσεὶ προηγεῖτο ἡ λέξις σάκος. Τὴν σύνταξιν ταύτην ἐκ τῶν νεωτέρων δέχεται ὁ Franke καὶ ὁ Düntzer. Κατὰ ταύτην τὴν σύνταξιν ἡ φράσις σημαίνει· γνωρίζω νὰ στρέψω τὴν ἀσπίδα πρὸς τὰ ἀριστερά, τὴν ὁποίαν ἔχω διὰ νὰ πολεμῶ εὐτόλμως. Ἄλλως ἑρμηνεύει ὁ Παραφραστής, ᾧ ἀκολουθεῖ ὁ La Roche. Οὗτος παραφράζει, διό μοι ὑπάρχει, διὰ τοῦτο δύναμαι καρτερῶς νὰ μάχωμαι. Ἡ ἑρμηνεία αὕτη φαίνεται πιθανωτέρα. Εἶναι δ' ἀπόκρισις πρὸς τὸν Αἴαντα σεμνυνόμενον διὰ τὸ ἑπταβόειον σάκος, ὡσεὶ ἔλεγε· τὸ ἀπὸ ἀσπίδος μάχεσθαι γνωρίζω καλῶς καὶ δὲν φοβοῦμαι. Περὶ τοῦ ἀμφιβόλου ἐτύμου τῆς λ. ταλαύρινον ὅρα 289.

οἶδα δ' ἐπαΐξαι μόθον ἵππων ὠκειάων· [1]
οἶδα δ' ἐνὶ σταδίῃ [2] δηΐῳ μέλπεσθαι Ἄρηϊ.
ἀλλ' οὐ γὰρ [3] σ' ἐθέλω βαλέειν τοιοῦτον [4] ἐόντα
λάθρῃ [5] ὀπιπεύσας, ἀλλ' ἀμφαδόν, αἴ κε τύχωμι.»
Ἦ ρα καὶ ἀμπεπαλὼν [6] προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ' αὐτῷ.
ἐξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής [7].
ἐν τῇ δ' [8] ἑβδομάτῃ ῥινῷ σχέτο. δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην [9] διάμησε χιτῶνα

[1] Γνωρίζω νὰ ἐφορμήσω εἰς τὸν θορυβώδη ἀγῶνα τὸν ἐφ' ἁμάξης. Ἡ προηγουμένη μάχη ἦτο ἀμυντική, αὕτη δὲ ἐπιθετική.

[2] Τὸ ἐπίθετον στάδιος παράγεται ἐκ τοῦ ἵστημι· ἐνταῦθα δὲ τὸ θηλυκὸν κεῖται ἀντὶ οὐσιαστικοῦ, διότι τὸ ὑσμίνη παρελείφθη. Σταδίη μάχη εἶναι ἡ ἐκ τοῦ συστάδην γινομένη διὰ τῶν ἀγχεμάχων ὅπλων. Μέλπομαι σημαίνει χορεύων ᾄδω, δηλ. γνωρίζω ἐν τῇ μάχῃ ἐκ τοῦ συστάδην νὰ μάχωμαι γενναίως πρὸς τιμὴν τοῦ φονικοῦ Ἄρεως.

[3] Ὁ γὰρ αἰτιολογεῖ τὸ παραλειφθὲν ἄρξομαι, ὅπερ δὲν εἶπεν ὁ Ἕκτωρ, διότι ἀρξάμενος ἐδήλωσε δι' αὐτῆς τῆς πράξεως, ὡς ἐν Φ 488.

[4] Ὁ Ἕκτωρ ἀναγνωρίζει τὴν πολεμικὴν ἀρετὴν τοῦ ἀνταγωνιστοῦ αὐτοῦ.

[5] Τὸ λάθρῃ συντακτέον οὐχὶ μετὰ τοῦ ὀπιπεύσας, ἀλλὰ μετὰ τοῦ βαλέειν, ὡς καὶ τὸ ἀμφαδόν. Προτιμᾶται ἡ γραφὴ ὀπιπεύσας τῆς ὀπιπτεύσας, κρυφίως σκοπεύσας.

[6] Τὴν ἑρμηνείαν τοῦ χωρίου ὅρα ἐν Γ 355.

[7] Διῆλθε δὲ ὁ ἀδάμαστος χαλκὸς τὰς ἓξ πτυχὰς διασχίζων αὐτάς. Τοῦτο μαρτυρεῖ τὴν μεγάλην δύναμιν, μεθ' ἧς ἔβαλεν ὁ Ἕκτωρ.

[8] Ἀντὶ νὰ εἴπῃ ἐν δὲ τῇ, ἀλλ' ἡ μετάθεσις ἀπαντᾷ καὶ ἀλλαχοῦ, ὡς Ν 799, θ 540 καὶ ἀλλαχοῦ.

[9] Λαπάρη εἶναι ὁ κενὸς ὀστέων

ἔγχος· ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκσπασσαμένω [1] δολίχ' ἔγχεα χερσὶν ἄμ' ἄμφω
σύν ῥ' ἔπεσον, λείουσιν [2] ἐοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν [3], τῶν τε σθένος οὐκ ἀλαπαδνόν [4].
Πριαμίδης [5] μὲν ἔπειτα μέσον σάκος οὔτασε [6] δουρί,
οὐδ' ἔρρηξεν χαλκός [7], ἀνεγνάμφθη δὲ οἱ αἰχμή.
Αἴας δ' ἀσπίδα νύξεν [8] ἐπάλμενος· ἡ δὲ διαπρὸ [9]
ἦλυθεν ἐγχείη, στυφέλιξε [10] δέ μιν μεμαῶτα,
τμήδην [11] δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν [12] αἷμα.
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης κορυθαίολος Ἕκτωρ,
ἀλλ' ἀναχασσάμενος [13] λίθον εἵλετο χειρὶ παχείῃ

τόπος, ἡ μέχρις ἡμῶν λαπάρα ὀνομαζομένη. Ἀντικρὺ δὲ πλησίον τῆς λαπάρας διετρύπησε τὸ δόρυ τὸν χιτῶνα. Ὅρα Δ 359.

[1] Ὀρθῶς ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἀπὸ τῆς τοῦ ἑτέρου ἀσπίδος τὸ ἴδιον ἑκάτερος».

[2] Ὁ ποιητὴς συχνάκις γενναίους πολεμιστὰς παραβάλλει πρὸς λέοντας.

[3] Κάπρος εἶναι ὁ ἀγριόχοιρος. Ὀρθῶς δ' ὁ Εὐστάθιος παρατηρεῖ· «Καὶ ἐνταῦθα δὲ γενικὸν μὲν τὸ συσίν, εἰδικὸν δὲ τὸ κάπροισι. Καὶ ἔστι καὶ αὐτὸ ὅμοιον τῷ, βοῦς ταῦρος, καὶ τοῖς τοιούτοις».

[4] Τῶν ὁποίων ἡ δύναμις δὲν εἶναι εὐκατάβλητος.

[5] Τὴν πρότασιν ταύτην δὲν συνδέει μετὰ τῶν ἡγουμένων, διότι εἶναι ἐπεξήγησις.

[6] Τὸ μὲν ο ὐ τ ά ζ ε ι ν λέγεται ἐπὶ τοῦ ἐγγύθεν, τὸ δὲ βάλλειν ἐπὶ τοῦ πόρρωθεν.

[7] Τὰ πλεῖστα καὶ ἄριστα τῶν χειρογράφων ἔχουσι χαλκόν, ἀλλ' ἐκράτησεν ἡ γνώμη τοῦ Ἀριστάρχου γράφοντος χ α λ κ ό ς. Κατὰ τὴν γραφὴν ταύτην τὸ ἔρρηξεν ἀντικείμενον ἔχει τὸ νοούμενον ἀ σ π ί δ α. Παραπλήσιον εἶναι τὸ ἐν Γ 348, ὅπερ ὅρα. Λοιπὸν ὁ χαλκὸς τοῦ δόρατος δὲν διέσχισε τὴν ἀσπίδα τοῦ Αἴαντος.

[8] Ὁ δὲ Αἴας διετρύπησε, διεπέρασε τὴν ἀσπίδα.

[9] Ἀπὸ τοῦ ἑνὸς ἄκρου εἰς τὸ ἄλλο, πέρα καὶ πέρα.

[10] Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Εἰς τοὔμπροσθεν ὁρμῶντα ἔστησε καὶ ἐπέσχεν».

[11] Ἐπέρασε κοφτερὰ ἀπὸ τὸν αὐχένα. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τμητικῶς, ὅσον ἐπιτεμεῖν καὶ οὐκ εἰς βάθος τρῶσαι».

[12] Μαῦρον αἷμα ἀνέβλυζεν.

[13] Ἀλλ' ἀποσυρθείς, ὑποχωρήσας. Ὁ Ἕκτωρ ὑποχωρεῖ ὀλί-

κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε·
τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
μέσσον ἐπομφάλιον [1]· περιήχησεν δ' ἄρα χαλκός.
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας
ἦκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον [2],
εἴσω δ' ἀσπίδ' ἔαξε [3] βαλὼν μυλοειδέϊ πέτρῳ,
βλάψε δὲ οἱ φίλα γούναθ'· ὁ δ' ὕπτιος ἐξετανύσθη
ἀσπίδι ἐγχριμφθείς [4]· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων [5].
καὶ νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν [6] οὐτάζοντο,
εἰ μὴ κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
ἦλθον [7], ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε [8] καὶ Ἰδαῖος, πεπνυμένω ἄμφω·

γον, διότι εἶχεν ἀνάγκην ἀποστάσεώς τινος, ὅπως ῥίψῃ τὸν λίθον.

[1] Κεῖται κατηγορηματικῶς εἰς τὸ σάκος καὶ ἰσοδυναμεῖ πρὸς τὴν φράσιν ἐπ' ὀμφαλῷ.

[2] Ἐκ τοῦ ἀ καὶ πέλεθρον = πλέθρον, καὶ σημαίνει μεγάλην, ὑπέρμετρον. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Συνεπέδωκεν ὅλον τὸ σῶμα τῇ βολῇ, καὶ πάσῃ δυνάμει ἐχρήσατο».

[3] Ὅρα τὴν διαφορὰν τῆς δυνάμεως τῶν δύω ἡρώων. Ὁ μὲν Ἕκτωρ βαλὼν λίθον μόλις ἐποίησε νὰ περιηχήσῃ τὸ σάκος τοῦ ἀνταγωνιστοῦ, ὁ δὲ Αἴας ἔθραυσε τὴν ἀσπίδα τοῦ Ἕκτορος. Σημειωτέον ὅμως, ὅτι ἐνυπάρχει καί τις διαφορὰ ἐν τοῖς ἀμυντηρίοις ὅπλοις ἑκατέρου. Μυλοειδὴς πέτρος λέγεται ὁ ὅμοιος πρὸς μυλόπετραν.

[4] Οὕτως ἔχουσι τὰ ἄριστα τῶν χειρογράφων κατὰ τὸν La Roche, ἐν ᾧ ὁ Ἀρίσταρχος ἔγραφεν, ἀσπίδ' ἐνιχριμφθείς. Ἡ μετοχὴ δηλοῖ τὸ αἴτιον τῆς πτώσεως τοῦ Ἕκτορος, δηλ. ἐτεντώθη ἀνάσκελα, διότι προσετρίβη εἰς τὴν ἀσπίδα, ἥτις κατέπεσεν ἐπ' αὐτοῦ. Ἄλλοι ὅμως ἑρμηνεύουσι, κρατῶν σφιγκτὰ ἢ σφίγγων τὴν ἀσπίδα, ὡς βραδύτερον οἱ Σπαρτιᾶται.

[5] Ὁ Ἀπόλλων ἦτο θεατὴς τοῦ ἀγῶνος καθήμενος ἐπὶ τῆς φηγοῦ τοῦ Διός, ὡς εἴδομεν ἐν στίχ. 59.

[6] Ὅλως πλησίον, καθ' ὁλοκληρίαν πλησίον.

[7] Οἱ κήρυκες δὲν ἐπέμφθησαν, ἀλλ' ἦλθον ἐξ ἰδίας ὁρμῆς καὶ προθυμίας, διότι καὶ οἱ δύω ἦσαν συνετοί.

[8] Ἐπειδὴ ὁ μὲν Ταλθύβιος ἦτο κῆρυξ τῶν Ἀχαιῶν, ὁ δὲ Ἰδαῖος

μέσσῳ [1] δ' ἀμφοτέρων σκῆπτρα σχέθον, εἶπέ τε μῦθον
κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς·
«Μηκέτι, παῖδε [2] φίλω, πολεμίζετε, μηδὲ μάχεσθον·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ [3] νεφεληγερέτα Ζεύς·
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ ἴδμεν [4] ἅπαντες.
νὺξ δ' ἤδη τελέθει [5]· ἀγαθὸν καὶ [6] νυκτὶ πιθέσθαι.»
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
«Ἰδαῖ', Ἕκτορα ταῦτα κελεύετε [7] μυθήσασθαι·
αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
ἀρχέτω [8]· αὐτὰρ ἐγὼ μάλα πείσομαι ἥπερ ἂν οὗτος [9].»
Τὸν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
«Αἶαν, ἐπεί [10] τοι δῶκε θεὸς μέγεθός τε βίην τε

τῶν Τρώων, ἀποτελεῖται σχῆμα χιαστόν.

[1] Τοῦτο βραδύτερον ἐλέγετο μεταίχμιον. Οἱ κήρυκες ἐκράτουν σκῆπτρα ὡς σύμβολον τοῦ ἀξιώματος αὐτῶν.

[2] Συνήθης προσφώνησις πρεσβυτέρων πρὸς νεωτέρους.

[3] Ἀπόδειξις, ὅτι ὁ Ζεὺς φιλεῖ ἀμφοτέρους, εἶναι, ὅτι οὐδενὶ ἐπέτρεψεν, ἵνα νικήσῃ τὸν ἕτερον. Ὁ ποιητὴς ὀρθῶς ποιήσας δὲν ἐπιτρέπει, ὅπως ἡττηθῇ ὁ Ἕκτωρ· διότι τοῦτον διαφυλάττει ὡς μέτρον τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. Ὥρα Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 262.

[4] Τοῦτο δὰ καὶ γνωρίζομεν ὅλοι· δὲν ἔχομεν ἀνάγκην νὰ δοκιμάσωμεν ὑμᾶς.

[5] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἀντὶ τοῦ γίνεται, ἀρχὴν λαμβάνει ἡ νύξ».

[6] Δηλαδὴ πλὴν τῶν ἄλλων αἰτίων.

[7] Ἂν καὶ ἡ προσφώνησις ἐγένετο καθ' ἑνικὸν ἀριθμόν, ὅμως τὸ ῥῆμα μετεχειρίσθη εἰς πληθυντικόν· διότι ὁ Ἰδαῖος εἶπεν ἐν ὀνόματι καὶ τῶν δύω κηρύκων. Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Πράου μὲν τὸ ἦθος· οὐ γὰρ προσφιλονεικεῖ κρατῶν τῇ μάχῃ· συνετοῦ δέ, ὅτι μὴ εὐθέως τῷ κήρυκι συνεχώρησεν, ἵνα μὴ ἄσμενος δοκῇ τὴν διάλυσιν προσίεσθαι, ἀλλὰ τὸν προκαλεσάμενον ᾠήθη δεῖν περὶ διαλύσεως ποιεῖσθαι τοὺς λόγους».

[8] Ἐννοεῖται ἡ φράσις, ταῦτα μυθήσασθαι, δηλ. μηκέτι πολεμίζειν καὶ νυκτὶ πιθέσθαι.

[9] Ἐκ τοῦ ἀρχέτω ἐννοητέον τὸ ἄρξῃ (μυθήσασθαι).

[10] Τὸν ἀποροῦντα περὶ τὴν

καὶ πινυτήν [1], περὶ δ' ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι,
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
σήμερον [2]· ὕστερον αὖτε μαχησόμεθ', εἰσόκε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί [3] γε νίκην·
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι [4].
ὥς [5] σύ τ' ἐϋφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,
σούς τε μάλιστα ἕτας [6] καὶ ἑταίρους, οἵ τοι ἔασιν·

σύνταξιν τοῦ χωρίου παραπέμπω εἰς τὸ Γ 59.

[1] Ἐκ τῆς ῥίζης πνυ τοῦ ῥήματος πνέω παραγόμενον σημαίνει σύνεσιν, φρόνησιν. Ὅρα καὶ υ 71 καὶ 228. Τὸ περὶ ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθετικοῦ φέρτατος.

[2] Τὸ σήμερον προσδιορίζει ἀκριβέστερον τὸ νῦν μέν. Οἱ ἀρχαῖοι κατὰ τὸν Σχολιαστὴν παρῆγον τὸ ἐπίρρημα ὕστερον οὑτωσί· «Ὥσπερ παρὰ τὴν πρὸ πρόθεσιν γίνεται πρότερος καὶ παρὰ τὴν ὑπὲρ ὑπέρτερος, οὕτω καὶ παρὰ τὴν ὑπὸ ὑπότερος, καὶ κατὰ συγκοπὴν ὕπτερος καὶ τροπῇ τοῦ π εἰς σ ὕστερος».

[3] Τοῖς Ἀχαιοῖς ἢ τοῖς Τρωσίν. Ὁ Ameis εἰκάζει, ὅτι οἱ στίχοι 291—293 παρενεβλήθησαν ἐκ τῶν ἑπομένων 377, 378 καὶ 282· διότι ἐκ τῶν ῥημάτων παυσώμεθα καὶ μαχησόμεθα ὡς καὶ ἐκ τοῦ ἄμμε γίνεται δῆλον, ὅτι πρόκειται περὶ τοῦ Αἴαντος καὶ Ἕκτορος. Κατὰ τοὺς ὅρους δὲ τῆς μονομαχίας ἡ ἔκβασις αὐτῆς δὲν ἤθελεν ἔχει ἀποτέλεσμα ἐπὶ τοῦ ὅλου πολέμου. Διὰ τοῦτο ἡ ἐπαγγελία περὶ ἐξακολουθήσεως τῆς μονομαχίας ἐφάνη παράδοξος. Καὶ ὅμως τὸ παράδοξον τοῦτο περιέχει ψυχολογικὴν ἀλήθειαν· διότι ὁ Ἕκτωρ τὴν διάλυσιν τῆς μονομαχίας δεχόμενος πειρᾶται, ὅπως μὴ δόξῃ ἀποφεύγων τὴν μάχην. Λέγει λοιπὸν ἔχομεν καιρὸν νὰ πολεμήσωμεν, λέγων δὲ τοῦτο δὲν ἐννοεῖ μονομαχίαν, ἀλλ' ἐξακολούθησιν τοῦ πολέμου. Σημειωτέον δ', ὅτι ὁ πόλεμος τῶν ἡρώων ὡμοίαζε πρὸς μονομαχίας.

[4] Τὸν στίχον τοῦτον ἐθεώρει νόθον ὁ Ἀρίσταρχος.

[5] Ἡ τελικὴ αὕτη πρότασις ἐξαρτᾶται ἐκ τοῦ παυσώμεθα μάχης· ἵνα καὶ σὺ φαιδρύνῃς ὅλους τοὺς Ἀχαιοὺς πλησίον τῶν πλοίων.

[6] Ἡ λέξις ἅπαντᾷ μόνον ἐν τῷ πληθυντικῷ ἀριθμῷ καὶ κατὰ τοὺς νεωτέρους γλωσσολόγους παράγεται ἐκ τῆς ἀντωνυμικῆς ῥίζης ἑ, ἐξ ἧς καὶ αἱ τριτοπρόσωποι προσωπικαὶ ἀντωνυμίαι. Σημαίνει τοὺς ἰδικούς ἤτοι πάντας τοὺς συγγενεῖς, οἵτινες δὲν

αὐτὰρ [1] ἐγὼ κατὰ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Τρῶας ἐϋφρανέω καὶ Τρωάδας ἑλκεσιπέπλους,
αἵ τε μοι εὐχόμεναι [2] θεῖον δύσονται ἀγῶνα.
δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
ὄφρα τις ὧδ' εἴπῃσιν Ἀχαιῶν τε Τρώων τε·
«ἦμὲν ἐμαρνάσθην ἔριδος πέρι [3] θυμοβόροιο,
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν [4] ἀρθμήσαντε.»
Ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον [5],
σὺν κολεῷ τε [6] φέρων καὶ εὐτμήτῳ τελαμῶνι·
Αἴας δὲ ζωστῆρα δίδου φοίνικι [7] φαεινόν.
τὼ δὲ διακρινθέντε [8] ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν

δηλοῦνται διὰ τῶν ἰδιαιτέρων ὀνομάτων, κασίγνητος καὶ ἀνεψιός.

[1] Ἐπειδὴ προηγήθη σύτε, περιεμένομεν καὶ ἐγώ· ἀντὶ δὲ τούτου κατέστησε τὴν τελικὴν πρότασιν ὅλως ἀνεξάρτητον μεταχειρισθεὶς μέλλοντα τῆς ὁριστικῆς.

[2] Ἐνταῦθα δὲν πρόκειται περὶ παρακλήσεως, ἀλλὰ περὶ εὐγνωμοσύνης τῶν Τρωάδων πρὸς τοὺς θεοὺς διὰ τὴν σωτηρίαν τοῦ Ἕκτορος. Ἐν Σ 376 ὀνομάζεται θεῖος ἀγὼν τὸ ἀνάκτορον τοῦ Διός, ὅπου συναθροίζονται οἱ θεοί. Λοιπὸν ἀγὼν σημαίνει ἀθροιστήριον, συναγωγήν, κατ' ἄλλους μὲν τῶν εὐχομένων, κατ' ἄλλους δὲ τῶν θεῶν, ὅπερ δὲν φαίνεται πιθανόν. Ἐν ἄλλαις λέξεσι σημαίνει ναόν, συνηθέστερον ὅμως ἑρμηνεύεται τόπος πρὸ τοῦ ναοῦ.

[3] Σημαίνει, ὅ τι καὶ τὸ ἐξ ἔριδος ἐν στίχ. 111.

[4] Ἀντὶ τοῦ διετμάγησαν (διατμήγω). Τὸ ἀρθμήσαντε ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἁρμοσθέντες καὶ συμβιβασθέντες· φιλιωθέντες». Ταιαύτην σημασίαν ἔχει καὶ τὸ ἄρθμιος ἐν π 427.

[5] Κατά τινα μῦθον μὴ ὑπάρχοντα ἐν τοῖς ὁμηρικοῖς ἔπεσι διὰ τοῦ ξίφους τούτου ὁ Αἴας ηὐτοκτόνησε καὶ διὰ τῆς ζώνης τῆς ὑπὸ τοῦ Αἴαντος δωρηθείσης ὁ Ἀχιλλεὺς ἔδεσε τὸ πτῶμα τοῦ Ἕκτορος ἀπὸ τοῦ ἰδίου ἅρματος.

[6] Κολεὸν καὶ κουλεὸν λέγεται ἡ ξιφοθήκη. Τελαμὼν δὲ εἶναι ὁ ἱμὰς ὁ βαστάζων τὸ ξίφος.

[7] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ἀντὶ τοῦ φοινικῷ ἄνθει πεφωτισμένην, ὅ ἐστι κεχρωτισμένον».

[8] Ἀντὶ νὰ εἴπῃ, τῶν δὲ διακριθέντων ὁ μέν, ὁ δέ.

ἦϊ', ὁ δ' ἐς Τρώων ὅμαδον [1] κίε. τοὶ δ' ἐχάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα [2] προσιόντα,
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους [3]
καὶ ῥ' ἦγον προτὶ ἄστυ, ἀελπτέοντες [4] σόον εἶναι.
Αἴαντ' αὖθ' ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
εἰς [5] Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ [6].
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἄρσενα πενταέτηρον [7] ὑπερμενέϊ Κρονίωνι.
τὸν δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
νώτοισιν [8] δ' Αἴαντα διηνεκέεσσι γέραιρεν

[1] Ἐνταῦθα σημαίνει πλῆθος νει ἀνελπιστοῦντες, μὴ ἐλπίζοντες. ἀνθρώπων θορυβούντων. Ὀρθῶς δὲ λέγει ὁ Σχολιαστής· «Ἐπὶ μὲν Αἴαντος τὸν λαόν, ἐπὶ δὲ Ἕκτορος ὅμαδόν φησι, διαστείλας· ἀεὶ γὰρ θορυβώδεις αὐτοὺς ἐκδέχεται».

[2] Τὸ ἀρτεμὴς ἐκ τῆς αὐτῆς ῥίζης, ἐξ ἧς καὶ τὸ ἄρτιος, παραγόμενον σημαίνει τὸν ἀρτιμελῆ, τὸν γερόν. Ὅρα, ὅτι οἱ μὲν Τρῶες σφόδρα χαίρουσιν ἐπὶ τῇ ἐπιστροφῇ, οἱ δὲ Ἀχαιοὶ δὲν αἰσθάνονται τοσαύτην χαράν, διότι δὲν εἶδον τὸν στρατηγὸν αὐτῶν κινδυνεύοντα.

[3] Περὶ τοῦ ἐτύμου καὶ τῆς σημασίας τοῦ ἐπιθέτου ὅρα Α 567.

[4] Ἐκ τοῦ ἄελπτος καὶ σημαίνει πλῆθος νει ἀνελπιστοῦντες, μὴ ἐλπίζοντες.

[5] Δηλαδὴ εἰς τὴν σκηνήν, ἐν ᾗ ἦτο ὁ Ἀγαμέμνων.

[6] Ὁ Αἴας ἐθεωρήθη νικητής, διότι ἔτρωσε τὸν Ἕκτορα, ἔρριψε τοῦτον χαμαὶ καὶ ἠνάγκασε τοῦτον νὰ αἰτήσῃ τὴν διακοπὴν τῆς μάχης.

[7] Ὅρα Β 403. Καὶ τὸ ἑπόμενον χωρίον ἑρμηνεύεται ἐν Α 465.

[8] Τὰ νῶτα ἤτοι ἡ ὠμοπλάτη ἐθεωρεῖτο ὡς τὸ ἄριστον μέρος τοῦ ζώου. Τούτου ἕνεκεν οἱ ἀριστεύοντες τῶν ἡρώων διὰ τούτων ἐτιμῶντο. Ὅρα καὶ Θ 162 καὶ Μ 311. Παραπλήσιον ἐγίνετο πρὸς τιμὴν τῶν Σπαρτιατῶν ἐν τῇ στρατείᾳ, ὡς παραδίδει ὁ Ἡρόδοτος VI, 56 «προβάτοισι δὲ χρᾶ-

ἦρως Ἀτρεΐδης, εὐρυκρείων Ἀγαμέμνων.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
τοῖς ὁ γέρων πάμπρωτος [1] ὑφαίνειν ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
«Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πολλοὶ γὰρ [2] τεθνᾶσι κάρη κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ [3] Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ [4] δ' Ἀϊδόσδε κατῆλθον·
τῷ σε χρὴ πόλεμον μὲν ἅμ' ἠοῖ πεῦσαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν [5] ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτοὺς
[τυτθὸν ἀποπρὸ [6] νεῶν, ὥς κ' ὀστέα παισὶν ἕκαστος
οἴκαδ' ἄγῃ, ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν].

σθαι ἐν τῇσι ἐξοδίῃσι ὁκόσοισι ἂν ἐθέλωσι, τῶν δὲ θυομένων ἁπάντων τὰ δέρματά τε καὶ τὰ νῶτα λαμβάνειν σφέας». Μέχρι τῶν καθ' ἡμῶν χρόνων διὰ τῶν νώτων τιμῶνται προέχοντες δαιτυμόνες. Τὸ ἐπίθετον διηνεκὴς εἶναι σύνθετον ἐκ τῆς δ ι ὰ καὶ τῆς ῥίζης ἐνεκ (ἐξ ἧς τὸ ἤνεγκον) καὶ σημαίνει συνεχής, continuus.

[1] Πρῶτος πάντων. Ὁ Ὅμηρος τὰς σοφωτάτας τῶν γνωμῶν τῷ Νέστορι ὑποβάλλει. Τὴν ἑπομένην φράσιν λέγει ἐκ μεταφορᾶς τοῦ ὑφαινομένου ἱστοῦ.

[2] Κατὰ πρόληψιν προτάσσει τὸ αἴτιον διὰ τοῦ γάρ, καὶ ἐπιτάσσει τὸ αἰτιατὸν ἐν στίχ. 331, ὡς ἐν Ν 228—230 καὶ Ο 739—741. Ἂν ἀντὶ τοῦ γὰρ ὑπῆρχε τὸ ἐπειδή, ἡ σύνταξις ἤθελεν εἶναι ὁμαλή.

[3] Ἄξιον σημειώσεως, ὅτι τὸ ι τῆς προθέσεως λαμβάνεται βραχὺ πρὸ τοῦ σκ.

[4] Κατὰ τὰς ἰδέας τῶν ὁμηρικῶν ἀνθρώπων τὸ σπουδαιότερον ἦτο τὸ σῶμα καὶ οὐχὶ ἡ ψυχή. Ὅρα Α 4.

[5] Ἡ πρότασις αὕτη κατέστη ἀνεξάρτητος τῆς προηγουμένης. Ἀντὶ δὲ ἀπαρεμφάτου, ὅπερ περιεμένομεν, ἐτέθη ὑποτακτική. Τὸ ῥῆμα ὁ Εὐστάθιος ἑρμηνεύει οὕτωσί· «Ἀντὶ τοῦ τροχοῖς ἀγάγωμεν, ἢ μάλιστα ἐφ' ἁμαξῶν νομίσωμεν, ὡς ἀπὸ μέρους. Τὰ γὰρ κύκλα, ἤγουν οἱ τροχοί, μέρος ἁμάξης».

[6] Ὀλίγον μακρὰν ἀπὸ τὰ

τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες [1]
ἄκριτον [2] ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
πύργους [3] ὑψηλούς, εἴλαρ νηῶν τε καὶ αὐτῶν,
ἐν δ' αὐτοῖσι πύλας [4] ποιήσομεν εὖ ἀραρυίας,

πλοῖα. Τοὺς δύω τούτους στίχους οὐχὶ ἄνευ λόγου ἠθέτει ὁ Ἀρίσταρχος, ὡς παραδίδει ὁ Σχολιαστής· «Ἀθετοῦνται, ὅτι οὐ διὰ τοῦτο ἐκαίοντο, ὅπως τὰ ὀστᾶ κομίσωνται, ἀλλὰ συνηθείᾳ· καὶ γὰρ οἱ ἐπὶ τῆς ἰδίας τελευτῶντες ἐκαίοντο. Καθόλου οὖν οἶδε πυρὶ καιομένους τοὺς πάλαι, καὶ ἐνταῦθα τιθεμένους, ὅπου καὶ ἐτελεύτησαν». Οὕτως ὁ Ἀγαμέμνων νομίζων, ὅτι ὁ Μενέλαος θέλει ἀποθάνει διὰ τὸ τραῦμα, λέγει ἐν Δ 174 «σέο δ' ὀστέα πύσει ἄρουρα κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ἔργῳ. Καὶ κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων, τύμβῳ ἐπιθρώσκων Μενελάου κυδαλίμοιο». Ὅρα καὶ Σ 332 καὶ Ψ 243. Ἄλλως ἡ πρότασις δὲν ἐκτελεῖται, ἢ τοὐλάχιστον δὲν λέγεται, ὅτι ἐκτελεῖται, ἐν στίχ. 430. Πρὸς τούτοις τὸ ἐνταῦθα προτεινόμενον δὲν δύναται νὰ ἐπιτευχθῇ, διότι ὁ ποιητὴς ἐν στίχ. 337 ἐννοεῖ πολυάνδριον, ἐν ᾧ ἤθελεν εἶναι δύσκολον νὰ διαχωρισθῶσι τὰ ὀστᾶ. Ἐν τέλει ἡ φράσις ὡς κ' ὀστέα παισὶν ἕκαστος οἶκαδ' ἄγῃ, διεγείρει ἔκπληξιν· διότι ἔχει οὕτως, ὡσεὶ ὁ εἰπὼν ἔλεγεν, ὅτι ἕκαστος ἤθελε κομίσει τὰ ὀστᾶ αὐτοῦ τοῖς ἰδίοις παισίν.

[1] Οἱ ἀρχαῖοι ἑρμηνεύουσιν ὡς ἀμετάβατον δηλ. ἐκπορευθέντες, ἐξελθόντες. Οἱ νεώτεροι ὅμως θεωροῦσιν ὡς μεταβατικόν, δηλ. ἐπισωρεύσαντες χῶμα ἐκ τῆς πεδιάδος.

[2] Ἄκριτος τύμβος λέγεται ὁ κοινός, τὸ πολυάνδριον.

[3] Ἐννοεῖ τεῖχος μετὰ πύργων, ὡς γίνεται δῆλον ἐν στίχ. 437 «ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν πύργους θ' ὑψηλούς.» Κατὰ τὸ προηγούμενον χρονικὸν διάστημα οἱ Ἀχαιοὶ δὲν εἶχον ἀνάγκην τείχους, διότι ὁ Ἀχιλλεὺς ἦτο ἔρκος τῶν Ἀχαιῶν. Τὸ εἴλαρ παραγόμενον ἐκ τῆς αὐτῆς ῥίζης, ἐξ ἧς καὶ τὸ εἴλω, σημαίνει ὀχύρωμα, προφύλαξιν καὶ εἶναι παράθεσις εἰς τὸ πύργους.

[4] Ὁ Ἀρίσταρχος ἐδέχετο μόνον μίαν πύλην τοῦ τείχους καὶ τούτῳ ἀκολουθοῦσι οἱ πλεῖστοι τῶν νεωτέρων ἑρμηνευτῶν, ὡς ὁ La Roche καὶ ὁ Düntzer. Ὁ σχολιαστὴς ὀρθῶς παρατηρεῖ· «Μία μὲν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου· τὰς δὲ λοιπὰς πυλίδας εἶχον πρὸς τὰς ἄλλας μικρὰς χρείας».

ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη [1]·
ἔκτοσθεν [2] δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππους [3] καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ' ἐπιβρίσῃ [4] πόλεμος Τρώων ἀγερώχων.»
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες.
Τρώων αὖτ' ἀγορὴ γένετ' [5] Ἰλίου ἐν πόλει ἄκρῃ,
δεινή, τετρηχυῖα [6], παρὰ Πριάμοιο θύρῃσιν.
τοῖσιν δ' Ἀντήνωρ [7] πεπνυμένος ἦρχ' ἀγορεύειν·
«Κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
δεῦτ' ἄγετ', Ἀργείην Ἑλένην καὶ κτήματ' ἄμ' αὐτῇ [8]
δώομεν Ἀτρείδῃσιν ἄγειν· νῦν [9] δ' ὅρκια πιστὰ

[1] Μετὰ τὴν αὐθυπότακτον ἔπεται εὐκτικὴ ἔγκλισις. Διὰ τοῦτο ἐπεχείρησάν τινες νὰ τρέψωσιν εἰς ὑποτακτικὴν εἴ ῃ. Ἀλλ' ὁ La Roche παρατηρεῖ, ὅτι ἡ ὑποτακτικὴ ἔπρεπε νὰ ἦναι ᾖ, διότι τὸ ἔῃ μόνον εἰς ᾖ ἐκτείνεται, ὡς θ ή ῃ, σ τ ή ῃ, φ ή ῃ, ἀ ν ή ῃ. Ἄλλως εὐκτικὴ ἐξαρτᾶται καὶ ἀπὸ προστακτικῆς ἰσοδυναμούσης πρὸς τὴν ἀνθυπότακτον ὡς ἐν ψ 135 καὶ ω 532.

[2] Ἐκτὸς τοῦ τείχους, ὅπερ ἀκριβέστερον ὁρίζεται διὰ τοῦ ἐγγύθι.

[3] Ἐννοεῖ τὰ ἅρματα τῶν ἡρώων. Τὸ δὲ ἀ μ φ ὶ ς ο ὖ σ α σημαίνει π ε ρ ι κ υ κ λ ο ῦ σ α.

[4] Ἐπιπέσῃ μὲ ὅλον του τὸ βάρος.

[5] Παρὰ τοῖς ἀρχαίοις ὑπῆρχεν ἡ εἰκασία, ὅτι ὁ Πρίαμος δὲν συνεκάλεσε τὴν ἀγοράν, ὡς παρατηρεῖ ὁ Σχολιαστής. «Δηλοῖ ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτούς, ἀλλ' ἀγανακτοῦντες ἦκον εἰς τὰ βασίλεια».

[6] Παρακείμενος τοῦ ταράσσω, ταραχώδης, θορυβώδης, Β 95· «τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στενάχίζετο γαῖα λαῶν ἰζόντων, ὅμαδος δ' ἦν», Ἡ ἀγορὰ τῶν Τρώων ἐγίνετο πρὸ τῶν ἀνακτόρων τοῦ Πριάμου, Β 788.

[7] Ὁ Ἀντήνωρ κατέχει τὴν αὐτὴν θέσιν παρὰ τοῖς Τρωσίν, ἣν ὁ Νέστωρ παρὰ τοῖς Ἀχαιοῖς, 148.

[8] Πλὴν τῆς Ἑλένης ὁ Πάρις ἥρπαξεν ἐκ Σπάρτης καὶ θησαυροὺς Γ, 70. Ὁ Ὅμηρος ἐμβάλλων εἰς τὸ στόμα τοῦ συνετοῦ Ἀντήνορος λόγους περὶ καταπαύσεως τοῦ πολέμου ὑποδηλοῖ, ὅτι δὲν ἐπιδοκιμάζει τὴν ἐξακολούθησιν τούτου.

[9] Ἀντιτίθεται ἡ παροῦσα κατάστασις πρὸς τὴν παρακέλευσιν τοῦ Ἀντήνορος.

ψευσάμενοι [1] μαχόμεσθα· τῷ οὔ νύ τι κέρδιον ἡμῖν
[ἔλπομαι [2] ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε]».
Ἦτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
«Ἀντῆνορ, σὺ μὲν [3] οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶσθα [4] καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς [5] ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί. [6]
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
ἀντικρὺ [7] δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ' ἀποδώσω·
κτήματα [8] δ', ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,

[1] Ἡ ἔννοια τοῦ ψεύδεσθαι ποιεῖ ἀντίθεσιν πρὸς τὰ π ι σ τ ά. Κατ' ἄλλους μὲν ἡ αἰτιατικὴ ὅρκια εἶναι ἀντικείμενον τοῦ ψευσάμενοι κατ' ἄλλους δὲ δηλοῖ τὴν σχέσιν. Τώρα καταπατήσαντες τὰς πιστὰς συνθήκας μαχόμεθα.

[2] Τὸν στίχον τοῦτον ἐξωβέλιζον οἱ Ἀλεξανδρινοὶ ἔχοντες τὴν γνώμην, ὅτι προσετέθη ὑπό τινος ἀγνοήσαντος τὴν ἔλλειψιν τοῦ ἔσται. Ἡ ἀθέτησις ἐπιδοκιμάζεται καὶ ὑπὸ τῶν νεωτέρων· διότι οὗτος καὶ ἀνάρμοστος εἶναι καὶ ἀσαφής. Ὁ Ἡρωδιανὸς ἐνόμιζεν, ὅτι τὸ ἵνα κεῖται ἀντὶ τοῦ ἐάν, ὡς λέγει ὁ Σχολιαστής· «Τὸ ἵνα ἀντὶ τοῦ ἐὰν παρὰ Ἡρωδιανῷ· δυνατὸν γὰρ σύνδεσμον ἀντὶ συνδέσμου παραλαβεῖν. Παρὰ τοῖς ἄλλοις ὠβέλισται». Σημειωτέον, ὅτι ὁ Ἀρίσταρχος ἔγραφεν ἵν' ἄν.

[3] Ἡ ἀντίθεσις ὑπάρχει ἐν στίχ. 361 α ὐ τ ὰ ρ ἐ γ ώ. Τὸ δὲ φίλα κεῖται κατηγορηματικῶς.

[4] Τὸ ἀσύνδετον ἔχει ἀντιθετικὴν ἔννοιαν. Ὅμως γνωρίζεις καὶ ἄλλον λόγον καλλίτερον νὰ ἐπινοήσῃς. Ὁ Πάρις πλαγίως κακίζει τὸν Ἀντήνορα, ὅτι δὲν λέγει τὴν πεποίθησιν αὐτοῦ. Ἐντεῦθεν ἡ ἑπομένη ἀντίθεσις.

[5] Ὁ Εὐστάθιος ἑρμηνεύει· «εἰ ταῦτα μὴ παίζων, ἀλλὰ σπουδάζων λέγεις».

[6] Οὐχὶ ἄνθρωποι, ἀλλ' αὐτοὶ οἱ θεοὶ ἔβλαψαν τὰς φρένας.

[7] Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Κατὰ πρόσωπον καὶ ἐξ ἐναντίας πάντων καὶ κατὰ ἀντίκρουσιν».

[8] Ὁ Εὐστάθιος παρατηρεῖ· «Κτήματα δὲ οἱ μὲν μεθ' Ὅμηρον ἰδίως ἐπὶ ἀγρῶν καὶ οἴκων φασίν, Ὅμηρος δὲ ἐπὶ πάντων ἁπλῶς τῶν ὑπαρχόντων».

πάντ' ἐθέλω [1] δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι».
Ἦτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ [2] ἀτάλαντος, 366
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
«Κέκλυτέ μευ [3], Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δόρπον [4] ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ,
καὶ φυλακῆς μνήσασθε [5] καὶ ἐγρήγορθε ἕκαστος· 371
ἠῶθεν [6] δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
εἰπέμεν Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν·
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος [7], αἴ κ' ἐθέλωσιν
παύσασθαι πολέμοιο δυσηχέος [8], εἰσόκε νεκροὺς 376
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰσόκε δαίμων

[1] Εἶμαι ἕτοιμος ὅλα νὰ δώσω. Τὸ οἴκοθεν σημαίνει ἐξ ἰδίων, ἐκ τῆς περιουσίας μου.

[2] Κυβερνήτης ἴσος μὲ τοὺς θεούς. Ὁ Ζεὺς ὀνομάζεται ὕπατος μήστωρ ἐν Θ 22.

[3] Οἱ στίχοι 368 καὶ 369 δὲν ὑπάρχουσιν ἐν τοῖς ἀρίστοις χειρογράφοις.

[4] Ἐκ τοῦ δρέπω παραγόμενον σημαινει τὸ δεῖπνον τὸ παρατιθέμενον τὴν ἑσπέραν.

[5] Καὶ φροντίσατε περὶ φρουρᾶς, Τὸ ἐγρήγορθε εἶναι παρακείμενος β' τοῦ ἐγείρω ἀντὶ ἐγρηγόρατε=γρηγορεῖτε. Ὅρα λεξικὸν Ebeling ἐν λ. Τοῖς ἑρμηνευταῖς φαίνεται παράδοξον, ὅτι ὁ Πρίαμος κελεύει, ἵνα πάντες γρηγορῶσιν, ἐν ᾧ δὲν παρίσταται τοιαύτη ἀνάγκη. Ἐν Σ 299, ὅπου ὑπάρχει ὁ στίχος, μᾶλλον ἁρμόζει τοῦτο.

[6] Ἰσοδυναμεῖ πρὸς τὴν γενικὴν ἠοῦς, αὔριον, τὸ πρωί.

[7] Πρὸς τούτοις ἂς εἴπῃ τὴν ἑπομένην συνετὴν πρότασιν· εἶναι δὲ τοιαύτη, διότι ὠφελεῖ ἀμφοτέρους.

[8] Οὐχὶ ὀρθῶς ὁ Döderlein θεωρεῖ ὡς δεύτερον συνθετικὸν μέρος τὸ ἄχος, διότι εἶναι τὸ ἦχος. Κατά τινας ὁ πόλεμος λέγεται δυσηχὴς διὰ τὴν κλαγγὴν τῶν ὅπλων, κατὰ τὸν Σχολιαστὴν ὅμως δι' ἄλλην αἰτίαν· «Κακοήχου διὰ τὰς οἰμωγάς, κακοὺς ἤχους ἔχοντος διὰ τὰς τῶν ἀποθνησκόντων φωνάς».

ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.»
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
[δόρπον [1] ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν.] 380
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.
τοὺς δ' εὗρ' εἰν ἀγορῇ Δαναούς, θεράποντας Ἄρηος
νηῒ πάρα πρυμνῇ [2] Ἀγαμέμνονος· αὐτὰρ ὁ τοῖσιν
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα [3] κῆρυξ·
«Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 385
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοί [4]
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο [5],
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν·

[1] Ὁ στίχος οὗτος ἠθετεῖτο ὑπὸ τῶν ἀρχαίων οὐχὶ ἀδίκως· διότι τὸ κατὰ στρατὸν ἀντιφάσκει πρὸς τὸ κατὰ πόλιν ἐν στίχ. 370. Πρὸς δὲ καὶ τὸ ἐν τελέεσσιν δὲν ἁρμόζει ἐνταῦθα· διότι τέλος ἐνταῦθα σημαίνει τάγμα, ὡς ἐξηγεῖ καὶ ὁ Εὐστάθιος λέγων· «Τὸ γὰρ ἐν τελέεσιν ἑρμηνευτικόν ἐστι τοῦ πάρος (370) καὶ τοῦ κατὰ στρατόν. Οὐ γὰρ μονὰξ ἐδόρπουν, ἀλλὰ στρατευτικῶς κατὰ ἴλας καὶ τάγματα».

[2] Οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν γράφουσιν οὐχὶ πρύμνῃ, ἀλλὰ πρυμνῇ. Ἡ ἀγορὰ τῶν Ἀχαιῶν ὑπῆρχεν ἀντικρὺ τῆς νηὸς τοῦ Ὀδυσσέως, ὡς γίνεται δῆλον ἐν Λ 806. Διὰ τοῦτο ἴσως ὁ Σχολιαστὴς λέγει· «Οὐκ εἰς ἐκκλησίαν, ἀλλ' ἔωθεν πρὸς Ἀγαμέμνονα ἐλθόντας, καὶ εἴ τι δέοι πράσσειν τῶν βουλευθέντων ἐρομένους». Τοῦτο δὲν φαίνεται πιθανόν, διότι ἐν τοιαύτῃ περιστάσει ὁ ποιητὴς δὲν ἠδύνατο νὰ εἴπῃ εἰν ἀγορῇ.

[3] Ἠπύτης ἐκ τοῦ ἠπύω (συγγ. τοῦ ἔπω) καὶ σημαίνει μεγαλόφωνος, ὡς ἑρμηνεύει ὁ Ἡσύχιος· «Φωνητής, βοητής, κῆρυξ μεγαλόφωνος». Ἐν τῇ αὐτῇ σημασίᾳ λέγεται λιγύφθογγος καὶ ἀστυβοώτης.

[4] Λέγει, ὅτι ἔλαβε τὴν ἐντολὴν καὶ παρὰ τῶν ἄλλων Τρώων, διότι οὗτοι ἐπεδοκίμασαν τὸν λόγον τοῦ Πριάμου.

[5] Κατὰ μὲν τὸν Düntzer τὸ ὑποκείμενον εἶναι ἀόριστον, δηλ. τοῦτο, κατὰ δὲ τὸν Ameis ἐκ τοῦ ἡγουμένου εἰπεῖν ἐννοεῖται τὸ ἀκούειν καὶ κατὰ τὸν La Roche κατ' ἔννοιαν ἔχει ὑποκείμενον τὸν μῦθον. Ἡ πρότασις αὕτη περιέχει ἔννοιαν μὴ περιλαμβανομένην ἐν τῇ ἐντολῇ τοῦ Πριά-

κτήματα μὲν ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσίν
ἠγάγετο Τροίηνδ' – ὡς πρὶν ὤφελλ' ἀπολέσθαι [1]–,
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι·
κουριδίην [2] δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ [3] φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται [4].
καὶ δὲ τόδ' ἠνώγειν εἰπεῖν ἔπος, αἴ κ' ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰκόκε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰσόκε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.»

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης [5].

«Μήτ' ἄρ τις νῦν [6] κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δέ [7], καὶ ὃς μάλα νήπιός ἐστιν,

μου, ἀλλ' ὁ Ἰδαῖος παρεμβάλλει φράσεις, ὅπως πεισθῶσιν οἱ Ἀχαιοί.

[1] Τὴν παρενθετικὴν ταύτην ἀρὰν εἶπεν ὁ Ἰδαῖος μετὰ πάθους μέν, ἀλλ' ἠρέμα, ὡς οἱ ἀρχαῖοι παρετήρησαν κατὰ τὸν Εὐστάθιον· «Φασὶν οἱ παλαιοὶ μὴ εἰς ἐπήκοον ἐκφωνηθῆναι τὸ τοιοῦτον ὑπὸ τοῦ κήρυκος, εἰ καὶ ἡ ποιητικὴ αὐτὸ Μοῦσα ἐξελάλησεν, ἀλλὰ διὰ λύπην ὑφειμένῃ καθ' αὑτὸν φωνῇ λαληθῆναι, διὰ μέσου ἀναφωνηθέν».

[2] Περὶ τῆς σημασίας τοῦ κουριδίη ὄρα ἐν Α 114. Ἡ Ἑλένη ὀνομάζεται κουριδίη ἄλοχος μόνον τοῦ Μενελάου, οὐχὶ δὲ καὶ τοῦ Πάριδος.

[3] Ἀρνεῖται νὰ ἀποδώσῃ.

[4] Μόνον ὁ Ἀντήνωρ ἐποίησε τοιαύτην πρότασιν, ἀλλ' αὕτη δὲν ἐγένετο δεκτή. Διὰ τοῦτο ὅμως ὁ Ἰδαῖος δὲν ψεύδεται, διότι ὁ Ἀντήνωρ οἱονεὶ ἡγέτης τῆς ἀντιπολιτεύσεως ὢν ἐξεπροσώπει τὴν γνώμην πολλῶν Τρώων.

[5] Τὸ θάρρος ἀντλεῖ ὁ Διομήδης ἐκ τῆς ἡγουμένης αὐτοῦ ἀριστείας. Καὶ ἄλλως ὁ ἥρως οὗτος εἶναι πάντοτε φιλοπόλεμος.

[6] Ὑπὸ τοιαύτας περιστάσεις, αἵτινες ὁρίζονται ἀκριβέστερον διὰ τῆς φράσεως γνωτὸν δὲ . . . Ἡ γενικὴ Ἀλεξάνδροιο ἀνήκει τῷ ῥήματι δεχέσθω, ὅπερ συντάσσεται καὶ πρὸς ἁπλῆν γενικήν, ὡς ἐν Α 596.

[7] Ὁ δὲ κεῖται ἀντὶ αἰτιολογικοῦ συνδέσμου, ὡς ἐν ω 182· διότι εἶναι γνωστὸν καὶ ἐκείνῳ, ὅστις εἶναι πολὺ ἀνόητος, ὅτι

ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται.»
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον [1] υἷες Ἀχαιῶν,
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
«Ἰδαῖ', ἦτοι μῦθον [2] Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται [3]· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
ἀμφὶ [4] δὲ νεκροῖσιν — καταχαιέμεν οὔτι μεγαίρω·
οὐ γάρ τις φειδὼ [5] νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν [6] ὦκα.
ὅρκια δὲ Ζεὺς ἵστω [7], ἐρίγδουπος πόσις Ἥρης».

πλέον τὸ τέλος τῆς καταστροφῆς ἐπίκειται.

[1] Ἰσοδυναμεῖ πρὸς τὴν φράσιν ἴαχον μῦθον ἐπαινήσαντες, ἥτις ὑπάρχει ἐν Β 333. Κατὰ τὸν Amis ὁ τύπος υἷες Ἀχαιῶν παρέχει τὴν αὐτὴν τῷ λαῷ τιμήν, ἣν τὸ πατρωνυμικὸν τῷ ἀτόμῳ.

[2] Τὸν μῦθον εἶπε μὲν ὁ Διομήδης, ἀλλ' οὗτος ἐπιδοκιμασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀνεγνωρίσθη ὡς γνώμη αὐτῶν.

[3] Κατὰ τὸν Εὐστάθιον ὁ ποιητὴς μεταχειρίζεται τὸ ὑποκρίνεσθαι ἀντὶ τοῦ ἀποκρίνεσθαι· «Ἰστέον δὲ καὶ ὅτι οὐκ οἶδεν Ὅμηρος τὴν λέξιν τοῦ ἀποκρίνεσθαι, ὡς καὶ ἐν ἄλλοις φανεῖται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ὑποκρίνεσθαι κέχρηται». Τὸ ἐπιανδάνω συνηθέστερον εὑρηται ἐφανδάνω. Εἰς ἐμὲ δ' ἀρέσκει τοιουτοτρόπως.

[4] Ὡς πρὸς δὲ τοὺς νεκρούς, ὅπερ ἀποτελεῖ πρότασιν ἀνεξάρτητον τῶν ἑπομένων. Διὰ τοῦτο πρέπει νὰ νοηθῇ μικρά τις παῦσις, ὡς παρετήρησε καὶ ὁ Σχολιαστής· «Μετὰ ὑποκρίσεως δεῖ ὑποστίζειν εἰς τὸ νεκροῖσι». Εἰς τὸ καταχαιέμεν δέον νὰ ἐννοήσωμεν τὸ ἀντικείμενον αὐτούς. Ὡς πρὸς τοὺς νεκρούς, δὲν θεωρῶ μέγα, ἤτοι δὲν ἀποποιοῦμαι νὰ θάψωμεν αὐτούς.

[5] Τὸ φειδὼ γίγνεται κεῖται ἀντὶ τοῦ παθητικοῦ τοῦ φείδομαι, ὡς τὸ νέμεσίς ἐστι ἀντὶ τοῦ νεμεσίζομαι. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Οὐ φειδόμεθα ὥστε ἐκμειλίσσειν ὑμᾶς τοὺς νεκρούς».

[6] Τὸ ῥῆμα παραγόμενον ἐκ τοῦ μέλι σημαίνει κυρίως γλυκαίνει, εἶτα δὲ ἐξευμενίζει. Συνετάχθη δὲ πρὸς γενικὴν τὸ ῥῆμα κατ' ἀναλογίαν τοῦ πυρὸς λελαχεῖν καὶ χαρίζεσθαι παρεόντων.

[7] Παρὰ τοῖς ἀρχαίοις ὑπῆρχεν ἀπορία, ὡς λέγει ὁ Σχολιαστής·

Ὣς εἰπὼν τὸ σκῆπτρον ἀνέσχεθε [1] πᾶσι θεοῖσιν,
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἱ δ' ἔατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι
Ἰδαῖος· ὁ δ' ἄρ [2] ἦλθε καὶ ἀγγελίην ἀπέειπεν
στὰς ἐν μέσσοισιν. τοὶ δ' ὡπλίζοντο [3] μάλ' ὦκα,
ἀμφότερον [4], νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
Ἀργεῖοι δ ἑτέρωθεν ἐϋσσέλμων ἀπὸ νηῶν
ὠτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
Ἠέλιος μὲν ἔπειτα [5] νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαρρείταο [6] βαθυρρόου Ὠκεανεῖο

«Ἢ τὰ νῦν καὶ περὶ τῶν νεκρῶν, ἢ τὰ πρόσθεν καὶ ἃ παρέβησαν, ἵνα ἐκδειματώσῃ αὐτούς». Μόνον ἡ πρώτη ἑρμηνεία εἶναι ὀρθή. Ἡ ἐκεχειρία εἶναι σύμβασις καὶ ἔπρεπε νὰ κυρωθῇ μεθ' ὅρκου. Ἄξιον σημειώσεως, ὅτι μόνον ὁ ἡγεμὼν τῶν Ἀχαιῶν ὀμνύει, οὐχὶ δὲ καὶ ὁ τῶν Τρώων· ἀλλὰ δὲν ἦτο καὶ ἀναγκαῖον, διότι οὗτοι ἦσαν ἐπίορκοι. Οἱ ἅπαξ τοὺς ὅρκους παραβαντες καὶ αὖθις παραβαίνουσιν.

[1] Περὶ τῆς ἀναστάσεως τοῦ σκήπτρου ὅρα Α 234. Ἐν ᾧ πρότερον ὠνόμασε μόνον τὸν Δία, ἐνταῦθα λέγει πάντας τοὺς θεούς· ἀλλ' ὁ Ζεὺς ἦτο ἀντιπρόσωπος πάντων τῶν θεῶν.

[2] Διὰ τοῦ ἄρα ὑποδεικνύει ὁ ποιητὴς, ὅτι τὸ ἦλθε ἀνταποκρίνεται πρὸς τὴν προσδοκίαν, ἣν ὑπηνίξατο. Οὗτος, ὡς ἦτο ἐπόμενον ἦλθε, καὶ εἶπεν ἀκριβῶς τὰ τῆς πρεσβεύσεως, ὡς ἐν Ι 422· «ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν ἀγγελίην ἀποφάσθε».

[3] Παρεσκευάζοντο, ἡτοιμάζοντο.

[4] Ἐπίρρημα, ὅπερ ἐπεξηγεῖται διὰ τῶν ἑπομένων. Ἄλλοι παρεσκευάζοντο νὰ φέρωσι τοὺς νεκρούς, καὶ ἄλλοι δὲ νὰ κομίσωσι ξύλα, ὅπως καύσωσιν ἐκείνους.

[5] Τοῦτο λέγει ὁ ποιητὴς ἐν σχέσει πρὸς τὸ ἠῶθεν ἐν στίχ. 381. Ἐνταῦθα πρῶτον ἀνατέλλει ὁ ἥλιος, ἐν ᾧ ἐκεῖ ἦτο λυκαυγές. Ὀρθῶς δὲ μετεχειρίσθη παρατατικόν, διότι θέλει νὰ δηλώσῃ, ὅτι πρὸ ὀλίγου ἤρχισαν αἱ ἡλιακαὶ ἀκτῖνες νὰ προσβάλλωσι τὴν γῆν. Ὁ Σχολιαστὴς λέγει· «Καλῶς τῷ παρατατικῷ ἐχρήσατο· κατ' ὀλίγον γὰρ φωτίζει τὴν γῆν ὁ ἥλιος σφαιροειδῆ οὖσαν».

[6] Ἐκ τοῦ ἀκαλὸς (ἀκὴν) καὶ ῥέω. Κατὰ τὴν σύνθεσιν σημαίνει ὁ ἡσύχως, ὁ πράως ῥέων.

οὐρανὸν εἰσανιών· οἱ δ' [1] ἤντεον ἀλλήλοισιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον [2] αἱματόεντα, 425
δάκρυα θερμὰ χέοντες, ἀμαξάων [3] ἐπάειραν.
οὐδ' εἴα κλαίειν [4] Πρίαμος μέγας· οἱ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον [5] ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
ὣς δ' αὖτως ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοί 430
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
Ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' [6] ἀμφιλύκη νύξ,

[1] Οἱ Ἀχαιοὶ καὶ οἱ Τρῶες· νοοῦνται μόνον οἱ συλλέγοντες τοὺς νεκρούς, διότι περὶ τῶν κομιζόντων ξύλα δὲν γίνεται πλέον λόγος.

[2] Κατὰ μὲν τὸν Döderlein ἡ λέξις παράγεται ἐκ τοῦ μ ύ ρ ο μ α ι, ὅπερ δὲν φαίνεται πιθανόν, κατὰ δὲ τὸν Damm ἐκ τοῦ ῥέω, ῥότος (αἰολ.). Σημαίνει δὲ τὸ πεπηγμένον αἷμα.

[3] Ἡ ἅμαξα ψιλοῦται ἰωνικῶς. Συνήθως δὲ θεωρεῖται σύνθετος ἐκ τοῦ ἅ μ α καὶ ἄ γ ω ἢ ἐκ τῆς ἀ μ φ ὶ καὶ ἄ ξ ω ν. Σημαίνει τετράτροχον, φορτηγὸν ἅμαξαν. Ὕψωσαν τοὺς νεκροὺς καὶ ἔθηκαν εἰς τὰς ἁμάξας.

[4] Τὸ κλαίειν εἶναι διάφορον τοῦ δ ά κ ρ υ α θ ε ρ μ ὰ χ έ ο ν τ ε ς. Ὁ Πρίαμος δὲν ἐπέτρεπε νὰ θρηνήσωσιν, ὡς ἔθος ἦτο, ὅτε ἔκαιον τοὺς νεκρούς. Ἀπηγόρευε δὲ τοὺς θρήνους καὶ διότι δὲν ὑπῆρχε πολὺς χρόνος καὶ διότι δὲν ἤθελε νὰ φοβηθῶσιν οἱ Τρῶες καὶ καταπέσῃ τὸ φρόνημα αὐτῶν. Καὶ ὁ Περικλῆς θάπτων πολλοὺς συγγενεῖς ἐν τῷ λοιμῷ δὲν ἔκλαιε διὰ πολιτικὴν αἰτίαν, ὡς παραδίδει ὁ Πλούταρχ. ἐν βίῳ Περικλ. XXXVI· «Οὐ μὴν ἀπεῖπεν οὐδὲ προὔδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν, ἀλλ' οὐδὲ κλαίων οὐδὲ κηδεύων οὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων, πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτοῦ τῶν γνησίων ἀποβαλεῖν Πάραλον».

[5] Τὸ ἐπινηνέω κατὰ τὸν Εὐστάθιον ἐγένετο οὑτωσί· «Ἔστι γὰρ νῶ τὸ σωρεύω καὶ ἀναδιπλασιασμῷ νανῶ καὶ τροπῇ νηνῶ, ἐξ οὗ τὸ ἐπενήνεον». Ὁ Bekker ὅμως εἰκάζει, ὅτι πρέπει νὰ γραφῇ ἐ π ε ν ή ε ο ν. Οὗτοι δὲ σιωπῶντες ἐπεσώρευον τοὺς νεκροὺς ἐπὶ τῆς πυρᾶς.

[6] Ἐνταῦθα περιμένομεν οὔ τ'

τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς [1] ἤγρετο λαὸς Ἀχαιῶν,
τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες 435
ἄκριτον ἐκ πεδίου, ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν, 440
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας [2] κατέπηξαν.

ἄρ, ἀντὶ δὲ τούτου μετέβη εἰς τὴν ἀντίθεσιν. Τὸ ἀμφιλύκη εἶναι σύνθετον ἐκ τῆς ἀμφὶ καὶ τῆς ῥίζης λυκ, ἐξ ἧς καὶ τὰ λυκάβας, λυκηγενής, λύχνος, lux, λευκὸς καὶ τὰ τοιαῦτα. Σημαίνει δὲ τὸ λυκόφως, τὸ λυκαυγὲς ὡς ἑρμηνεύει Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Β 669· «ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον, οὔτε τι λίην ὀρφναίη πέλεται, λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ φέγγος, ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέσουσι». Ὁ Lachmann ἐνταῦθα προσκρούει, διότι ὁ ποιητὴς ὁμιλεῖ περὶ πρωΐας, ἐν ᾧ δὲν ἐδήλωσεν, ὅτι ἐγένετο νύξ. Νομίζομεν ὅμως, ὅτι τοῦτο ὑπηνίζατο εἰπών, ὅτι οἱ Τρῶες ἐπορεύθησαν εἰς τὴν πόλιν, οἱ δ' Ἀχαοὶ εἰς τὰς ναῦς. Ὅρα Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 309. Πρὸς τούτοις παρατηροῦμεν, ὅτι τὸ αὐτὸ συμβαίνει καὶ ἀλλαχοῦ, Ω 785—788 καὶ Ψ 217 ἐν παραβολῇ πρὸς 226.

[1] Ἐκλεκτός, ἐκλελεγμένος, ὁ δ' Εὐστάθιος παρατηρεῖ· «Καὶ ὁ μὲν κριτὸς λαὸς δηλοῖ οὐ τὸν ἐν συνθέσει ἔκκριτον, ἢ πρόκριτον κατά τι ἐξαίρετον ἀρετῆς, ἢ τὸν λογάδα χαρακτηρίζει, ἀλλὰ τὸν ἁπλῶς χωριστὸν εἴς τι ἔργον». Τὰ χειρόγραφα ἔχουσιν ἔγρετο, ὅπερ ἤθελε σημαίνει ἐξύπνησε περὶ τὴν πυράν· διότι εἶναι ἀόριστος β′ τοῦ ἐγείρω. Ἐπειδὴ ὅμως ἡ τοιαύτη σημασία ἐνταῦθα καὶ ἐν Ω 789 δὲν ἁρμόζει, διορθοῦται εἰς ἤγρετο (τοῦ ἀγείρω, ὡς καὶ τὸ ἀγρόμενος). Ἡ διόρθωσις αὕτη ὑποστηριζομένη ὑπὸ τοῦ La Roche καὶ τοῦ Düntzer δὲν εἶναι ἀτυχής· διότι ἐν τῷ ἀρχαίῳ ἑλληνικῷ ἀλφαβήτῳ τὸ Ε ἐτίθετο καὶ ἀντὶ τοῦ ε καὶ ἀντὶ τοῦ η. Τὴν τοιαύτην διόρθωσιν ὑποστηρίζει καὶ ἡ μετάφρασις τοῦ παραφραστοῦ ἐν ἀμφοτέροις τοῖς χωρίοις, συνηθροίζετο καὶ ἠθροίζετο.

[2] Ὁ μὲν Curtius παράγει ἐκ τοῦ σκύλλω (ξεσχίζω), ὁ δὲ Döderlein ἐκ τοῦ χολούω. Ὁ Εὐστάθιος ἑρμηνεύει οὑτωσί· «Εἰσὶ δὲ σκόλοπες ὀρθὰ ξύλα, ὧν ἀπο-

Ὣς οἱ μὲν πονέοντο κάρη κομόωντες Ἀχαιοί·
οἱ δὲ θεοὶ παρ' Ζηνὶ [1] καθήμενοι ἀστεροπητῇ
θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
«Ζεῦ πάτερ [2], ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν,
ὅστις ἔτ' ἀθανάτοισι [3] νόον καὶ μῆτιν ἐνίψει;

ξυμμένων ἢ κατὰ γραμμὴν εὐθεῖαν στάσις ἔοικεν ἡπλωμένῃ πτέρυγι». Ὁ Νέστωρ δὲν συνεβούλευσε τοῖς Ἀχαιοῖς νὰ καταπήξωσι σκόλοπας, ἀλλὰ τοῦτο εἶναι λεπτότης, ἣν ἐκεῖ παρέλειψεν ὁ ποιητής. Οἱ ἑρμηνευταὶ ἀποροῦσιν, ὅτι οἱ Ἀχαιοὶ κατὰ τὸ δέκατον ἔτος οἰκοδομοῦσι τεῖχος. Ἀλλὰ τούτου δὲν ὑπῆρχεν ἀνάγκη, διότι τοῦ Ἀχιλλέως παρόντος ὁ Ἕκτωρ δὲν ἐτόλμα νὰ ἐξέλθῃ τῶν Σκαιῶν πυλῶν. Λοιπὸν ὁ υἱὸς τοῦ Πηλέως ἦτο τὸ ἔρκος τῶν Ἀχαιῶν. Ἄξιον δὲ σημειώσεως, ὅτι ὁ Ὅμηρος μνημονεύει καὶ προγενεστέρου τείχους ἐν Ξ 31 καὶ ὁ Θουκυδίδης, (ἴσως κατὰ τὰ Κύπρια ἔπη) λέγει περὶ τούτου ἐν βιβλ. Ι, 11 «Ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν (δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο)». Πρὸς τούτοις οἱ ἑρμηνευταὶ θαυμάζουσιν, ὅτι ἐν μιᾷ ἡμέρᾳ οὕτω μέγα ἔργον ἐκτελεῖται. Ἀλλὰ πρέπει νὰ ληφθῇ ὑπ' ὄψει ἡ μεγάλη τοῦ στρατοῦ πληθύς. Ἄλλως πανταχοῦ σχεδὸν ὁ Ὅμηρος συγκεντροῖ πολλὰς πράξεις ἐν βραχυτάτῳ χρόνῳ, ὡς διὰ μακρῶν ἐπραγματεύθημεν ἐν Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 334 καὶ ἑξῆς.

[1] Ἐνταῦθα δὲν ὑπάρχει ἐπίσημος τῶν θεῶν ἀγορά, ἀλλὰ μόνον ἁπλῆ συνάθροισις τούτων ἐν τοῖς ἀνακτόροις τοῦ Διός.

[2] Ὁ Ζεὺς ἦτο ἀδελφὸς τοῦ Ποσειδῶνος, ἀλλ' ὀνομάζεται πατήρ, διότι οὗτος ἐθεωρεῖτο ὡς πατὴρ ἀνδρῶν τε θεῶν τε. Καὶ ἡ σύζυγος Ἥρα ὀνομάζει τὸν Δία πατέρα ἐν ε 757. Ἡ ἐρώτησις περιέχει συμπέρασμα ἐξαγόμενον ἐκ τοῦ ἔργου, ὅπερ οἱ θεοὶ θεῶνται.

[3] Ἀντὶ νὰ εἴπῃ ἡμῶν· μετεχειρίσθη δὲ τὸ ἀθανάτοισιν, ὅπως ποιήσῃ ἀντίθεσιν πρὸς τὸ προηγούμενον βροτῶν. Τὸ ἐνίψει εἶναι μέλλων τοῦ ἐνέπω, εὕρηται δὲ καὶ ἐνισπήσω ἐν ε 98. Ζεῦ πάτερ, ἆρά γε ὑπάρχει κανεὶς ἐκ τῶν θνητῶν ἐπὶ τῆς ἀπείρου γῆς, ὅστις ἀκόμη θὰ εἴπῃ εἰς τοὺς ἀθανάτους τὴν γνώμην καὶ τὴν ἀπόφασίν του; Ὁ Ποσειδῶν ἐννοεῖ, ὅτι κανεὶς δὲν θέλει εὐχηθῇ τοῖς θεοῖς διὰ θυσιῶν, οὐδὲ θέλει αἰτήσει χρησμόν, ἀφ'

οὐχ ὁράᾳς, ὅτι δὴ αὖτε [1] κάρη κομόωντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο [2] νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλασαν, οὐδὲ [3] θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας ; 450
τοῦ [4] δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς·
τοῦ δ' ἐπιλήσονται [5], τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων [6]
ἤρῳ [7] Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε».

Τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
»Ὤ πόποι, ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες. 455
ἄλλος κέν τις τοῦτο θεῶν δείσειε νόημα [8],

οὐ οἱ Ἀχαιοὶ δὲν τιμωροῦνται, οἵτινες καίπερ μέγα τεῖχος ἀνεγείραντες, ὅμως δὲν προσήνεγκον θυσίας τοῖς θεοῖς.

[1] Τὴν οἰκοδομὴν τοῦ τείχους θεωρεῖ ὡς νέαν ἀπόδειξιν τῆς ἀσεβείας τῶν ἀνθρώπων. Ὁ Ποσειδῶν ἦτο φίλος τῶν Ἀχαιῶν, ἀλλ' ἐν τῷ παρόντι κατελήφθη ὑπὸ φθόνου κατὰ τὰς ἰδέας τῶν ἀρχαίων, ἐξ ὧν ὁ Ἡρόδοτος λέγει φθονερὸν τὸ θεῖον.

[2] Σχῆμα ἐτυμολογικὸν ὡς αἰχμὰς αἰχμάζειν Δ 324, οἶνον οἰνίζεσθαι Θ 506, κτέρεα κτερείζειν Ω 38 καὶ τὰ τοιαῦτα. Τὸ δὲ ἐπόμενον ἐμπρόθετον δηλοῖ ἢ ὑπεράσπισιν, ἢ ὑπὲρ τὰς ναῦς, ἔξωθεν τῶν νηῶν.

[3] Παρατακτικὴ ἀντίθεσις πρὸς τὰς δύω ἡγουμένας προτάσεις.

[4] Ἀναφέρεται εἰς τὸ ἡγούμενον τεῖχος. Περὶ τῆς γραφῆς τοῦ ὅσον ὑπῆρχε διαφωνία μεταξὺ δύω μεγάλων κριτικῶν τῆς Ἀλεξανδρείας, ὡς παραδίδει ὁ Σχολιαστής· «Ὁ μὲν Ἀρίσταρχος θηλυκῶς, ὅσην τ' ἐπικίδναται, ὁ δὲ Ζηνόδοτος ἀρσενικῶς».

[5] Τὸ ὑποκείμενον εἶναι οἱ ἄνθρωποι. Θὰ λησμονήσωσι δὲ τούτου τοῦ τείχους, τὸ ὁποῖον ἐγὼ καὶ ὁ Φοῖβος Ἀπόλλων κακοπαθήσαντες κατεσκευάσαμεν εἰς τὸν ἥρωα Λαομέδοντα.

[6] Ὁ Ποσειδῶν ἤγειρε τὸ τεῖχος, διότι ὁ Ἀπόλλων ἐβουκόλει παρὰ τῷ Λαομέδοντι, ὡς λέγεται ἀκριβῶς ἐν Φ 441—457.

[7] Ἀνάλογα εἶναι τὰ ἔρῳ, γέλῳ, ἱδρῷ. Ἥρῳ εὕρηται καὶ ἐν θ 483. Σημειωτέον ὅμως, ὅτι ἐν τῷ προκειμένῳ χωρίῳ πάντα τὰ χειρόγραφα ἔχουσιν ἥρωϊ, ὅπερ δύναται νὰ ἀναγνωσθῇ ὡς δάκτυλος. Περὶ τοῦ πολίζειν ὁ Εὐστάθιος παρατηρεῖ· «Ὅτι τὸ τεῖχος τειχίσαι διαφέρει τοῦ πολίσαι· οὐ γὰρ πᾶς ὁ τειχίζων ἤδη καὶ πολίζει».

[8] Κανεὶς ἄλλος ἐκ τῶν θεῶν δύναται νὰ φοβῆται τοῦτο τὸ νόημα, δηλ. ὅτι οἱ ἄνθρωποι δὲν θέλουσι προσέχει εἰς τοὺς θεούς.

ὃς σέο πολλὸν ἀφαυρότερος [1] χεῖράς τε μένος τε·
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς [2].
ἄγρει [3] μάν, ὅτ' ἂν αὖτε χάρη κομόωντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
τεῖχος ἀναρρήξας [4] τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις [5] δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται [6] Ἀχαιῶν».

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
δύσετο δ' ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν,
βουφόνεον [7] δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
νῆες δ' ἐκ Λήμνοιο [8] παρέστασαν οἶνον ἄγουσαι

[1] Τὸ ἔτυμον τοῦ ἐπιθέτου δὲν εἶναι βέβαιον· κατ' ἄλλους μὲν εἶναι συγγενὲς τοῦ φαῦλος, φαῦρος, παῦρος, κατ' ἄλλους δὲ εἶναι σύνθετον ἐκ τῆς ἀπὸ καὶ αὔω, ὅπερ δὲν φαίνεταί μοι πιθανόν. Ὁπωσδήποτε σημαίνει ἀδύνατον, ἀσθενῆ.

[2] Ἐνταῦθα δὲν σημαίνει τὴν πρωΐαν, ἀλλὰ τὸ φῶς τῆς ἡμέρας.

[3] Προστακτικὴ τοῦ ἀγρέω καὶ πληθυντ. ἀγρεῖτε. Ἐγένετο δὲ παρακελευσματικὸν ὡς καὶ τὸ ἄγε, ἔλα δά. Τὸ αὖτε δηλοῖ ἀντίθεσιν πρὸς τὴν παροῦσαν κατάστασιν.

[4] Διὰ τοῦ ῥήματος τούτου ὁ ποιητὴς δηλοῖ, ὅτι ὁ Ποσειδῶν θέλει ἀναλύσει τὸ τεῖχος εἰς τὰ στοιχεῖα αὐτοῦ. Ἴσως ἤθελέ τις ὑπολάβει, ὅτι ἤρκει ἡ λέξις τεῖχος, ἀλλὰ προσέθηκε καὶ τὸ μὲν, ὅπως ποιήσῃ ἀντίθεσιν πρὸς τὴν ἠϊόνα.

[5] Πάλιν, ἐν σχέσει πρὸς τὴν προτέραν κατάστασιν τοῦ ἐδάφους, ὅτε δὲν ὑπῆρχε τὸ τεῖχος. Κατὰ τὸν Düntzer ὁ ποιητὴς ὑποδηλοῖ προγενέστερον κατακλυσμὸν ἐπὶ Λαομέδοντος.

[6] Ἀμαλδύνω σημαίνει μαλακύνω, καταστρέφω, ἀφανίζω.

[7] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Βουφονεῖν ἐστιν οὐ τὸ θύειν θεοῖς (ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν), ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δείπνου κατασκευήν».

[8] Ὅτε οἱ Ἀχαιοὶ ἐστρατεύοντο ἐπὶ Τροίαν, ἐγένοντο ἐνταῦθα δεκτοὶ φιλικῶς Θ 230. Μετὰ τῶν Λημνίων οἱ Ἀχαιοὶ εὑρίσκοντο ἐν ἐμπορικῇ ἐπιμιξίᾳ, Φ 40 καὶ Ψ 746. Τὸ παρέστησαν ἐνταῦθα σημαίνει ἦλθον, προσωρμίσθησαν.

πολλαί, τὰς προέηκεν Ἰησονίδης [1] Εὔνηος,
τόν ῥ' ἔτεχ' Ὑψιπύλη [2] ὑπ' Ἰήσονι, ποιμένι λαῶν.
χωρὶς [3] δ' Ἀτρείδης, Ἀγαμέμνονι καὶ Μενελάῳ,
δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ [4], χίλια μέτρα.
ἔνθεν ἄρ' οἰνίζοντο [5] κάρη κομόωντες Ἀχαιοί,
ἄλλοι [6] μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖς [7], ἄλλοι δ' αὐτῇσι βόεσσιν,
ἄλλοι δ' ἀνδραπόδεσσι [8]· τίθεντο δὲ δαῖτα θάλειαν.

[1] Οἱ Ἀργοναῦται κατὰ τὸν πλοῦν αὐτῶν ἀπέβησαν εἰς Λῆμνον, ἔνθα ὁ Ἰάσων μετὰ τῆς Ὑψιπύλης ἔσχε δύω υἱούς, τὸν Εὔνηον καὶ τὸν Νεβροφόνον.

[2] Ἡ Ὑψιπύλη ἦτο θυγάτηρ τοῦ Θόαντος, Ξ 230. Διὰ τοῦ ἐμπροθέτου ὑποδεικνύει ὁ ποιητὴς τὴν σχέσιν, ὡς ἐν Β 714.

[3] Χωριστά, δηλ. πλὴν τοῦ οἴνου, ὅστις ἦτο προωρισμένος διὰ τοὺς Ἀχαιούς.

[4] Τὸ ὄνομα μέθυ (οἶνος) ἀπαντᾷ μόνον κατ' ὀνομαστικὴν καὶ αἰτιατικήν. Παρ' Ὁμήρῳ οἱ μεγάλοι ἀριθμοὶ εἶναι μόνον ποιητικαὶ ἐκφράσεις πρὸς δήλωσιν μεγάλου ἀριθμοῦ, ὡς ἐδείξαμεν ἐν Α 54. Ὁ Düntzer εἰκάζει, ὅτι τὸ μέτρον εἶχε βάρος, ὅσον ὁ Ἡροδότειος (I, 51) ἀμφορεὺς καὶ ὁ ἀττικὸς μετρητής. Ἀλλὰ κατὰ τὴν ἐπικρατοῦσαν γνώμην δὲν εἶναι γνωστὸν τὸ βάρος τοῦ μέτρου.

[5] Ἀντήλλασσον οἶνον ἀντὶ χαλκοῦ. Τὰ νομίσματα ἐν τῷ ἡρωϊκῷ αἰῶνι ἦσαν ἄγνωστα.

[6] Τὸ ἄλλοι πεντάκις τεθειμένον δὲν πλεονάζει, ἀλλ' ὑποδηλοῖ τὴν σπουδήν, ἣν εἶχον οἱ Ἀχαιοί, ὅπως δι' οἱουδήποτε πόρου λάβωσιν οἶνον. Τὸν σιδηρον λέγει αἴθωνα ὡς στίλβοντα, ἀστράπτοντα. Ὁ χαλκὸς καὶ ὁ σίδηρος, ὡς φαίνεται, εἶναι ὅπλα, ἅπερ ἐσύλησαν παρὰ τῶν πολεμίων.

[7] Ἄλλοι ἐπρομηθεύοντο οἶνον διὰ δερμάτων βοῶν, ἄλλοι δὲ δι' αὐτῶν τῶν βοῶν. Περὶ τοῦ θηλυκοῦ γένους τοῦ ἑπομένου ὀνόματος ὁ Εὐστάθιος παρατηρεῖ· «Ἰώνων γὰρ ἴδιον τὰς βόας λέγειν καὶ τὰς ἵππους καὶ τὰς κύνας καὶ τὰ τοιαῦτα».

[8] Δὲν λέγει ἀνδραπόδοις, ἀλλ' ἀνδραπόδεσσι, ὡσεὶ ἡ ὀνομαστικὴ μὴ ἦτο ἀνδράποδον, ἀλλ' ἄνδρα-πους. Τοῦτο οἱ ἀρχαῖοι λέγουσι μεταπλασμόν. Σημειωτέον, ὅτι ὁ Ἀριστοφάνης καὶ ὁ Ἀρίσταρχος ἠθέτουν τὸν στίχον, ἐν ᾧ κεῖται ἡ λέξις, ἣν ἐθεώρουν νεωτερικήν. Τῷ Ὁμήρῳ εἶναι γνωσταὶ αἱ λέξεις δμώς, ὑποδμώς, δούλη, ἀμφίπολος, οἰκεύς, δρηστὴρ καὶ ὑποδρηστήρ. Τὸ τίθεντο ὁ

παννύχιοι [1] μὲν ἔπειτα κάρη κομόωντες Ἀχαιοὶ
δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·
παννύχιος δέ σφιν [2] κακὰ μήδετο μητίετα Ζεύς,
σμερδαλέα κτυπέων [3]. τοὺς δὲ χλωρὸν δέος ἤρει·
οἶνον δ' ἐκ δεπάων χαμάδις χέον [4], οὐδέ τις ἔτλη 480
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέϊ Κρονίωνι.
κοιμήσαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἔλοντο.

Παραφραστὴς μεταφράζει παρεσκευάζοντο.

[1] Ἂν τις παραβάλῃ τὸ παννύχιοι πρὸς τὸν στίχ. 482, θέλει εὑρεῖ ἀντίφασιν. Αὕτη ὅμως δὲν εἶναι πραγματική, διότι τὸ παννύχιοι εἶναι ὑπερβολικὴ φράσις καὶ δὲν σημαίνει καθ' ὅλην τὴν νύκτα, ἀλλὰ κατὰ τὸ πλεῖστον μέρος τῆς νυκτός.

[2] Δηλαδὴ τοῖς Ἀχαιοῖς.

[3] Εἶναι τὸ ἐξωτερικὸν σημεῖον, ἐξ οὗ ἠδύνατό τις νὰ εἰκάσῃ, ὅτι ὁ Ζεὺς διενοεῖτο κακὰ κατὰ τῶν Ἀχαιῶν. Τὸ δέος δὲν εἶναι ὠχρόν, ἀλλὰ ποιεῖ τοὺς ἀνθρώπους ὠχρούς, δηλ. εἶναι ὠχροποιόν.

[4] Οἱ Ἀχαιοὶ ἔχεον οἶνον ἐπὶ τῆς γῆς ὡς λοιβήν.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Θ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ζεὺς ἀπαγορεύσας τοῖς θεοῖς μηδετέρῳ βοηθεῖν τῶν στρατῶν ἐπὶ τὴν Ἴδην κατέρχεται, καὶ πρότερον ἴσον μαχομένους τοὺς Ἕλληνας ἐλάττονας τῶν Τρώων καθίστησιν. Ἥραν δὲ καὶ Ἀθηνᾶν ἐπὶ βοήθειαν τοῖς Ἕλλησιν ἐξιούσας ἐπέσχεν Ἶρις, Διὸς κελεύσαντος. Ἑσπέρας δὲ γενομένης, Ἕκτωρ ἐδημηγόρησεν ἐν τῷ πεδίῳ, ὥστε στρατοπεδεύεσθαι καὶ πῦρ δι᾽ ὅλης νυκτὸς καίειν.

ΙΛΙΑΔΟΣ Θ.

ΚΟΛΟΣ[1] ΜΑΧΗ.

Ἠὼς μὲν κροκόπεπλος[2] ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
Ζεὺς δὲ θεῶν ἀγορὴν[3] ποιήσατο τερπικέραυνος[4]

[1] Ἡ λέξις εἶναι συγγενὴς τῶν κολοβός, κολούω καὶ κολάζω. Λέγεται δ' ἡ μάχη κολοβή, διότι διακόπτεται τῆς νυκτὸς ἐπελθούσης ἐν στίχ. 500. Ἡ ὀγδόη ῥαψῳδία εἶναι σπουδαιοτάτη ἐν τῇ πλοκῇ τοῦ μύθου τοῦ ὅλου ἔπους, διότι ἐνταῦθα ὁ Ζεὺς ἄρχεται ἐκτελῶν τὴν δοθεῖσαν τῇ Θέτιδι ὑπόσχεσιν ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ στίχ. 523. Ἡ ὕλη ταχέως ῥέουσα ἀποβαίνει ζωηρά· ὁ ποιητὴς ἄγει ἡμᾶς ὁτὲ μὲν ἐπὶ τοῦ Ὀλύμπου, ὁτὲ δὲ ἐπὶ τῆς Ἴδης, ἄλλοτε δὲ εἰς τὸ στρατόπεδον τῶν Ἀχαιῶν καὶ ἄλλοτε εἰς τὸ τῶν Τρώων. Διὰ ταῦτα ὁ Ὅμηρος ἐλέγχεται ὑπὸ τοῦ Lachmann, ἀλλ' ὅρα Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 311. Ἠθικὴ ἧττα τῶν Ἀχαιῶν εἶναι τὸ ἀποτέλεσμα τῆς μάχης ταύτης τῆς ἡμέρας· ὁ δὲ Ζεὺς ἀγγέλλει, ὅτι ἡ θέσις αὐτῶν ἐν τῇ ἑπομένῃ ἡμέρᾳ ἔσται πολὺ χείρων ἐν στίχ. 470.

[2] Κροκόπεπλος λέγεται ἡ ἔχουσα κροκοβαφῆ πέπλον, ἀλλὰ καίπερ πέπλον φοροῦσα ἡ ἠώς, ὅμως δὲν παρίσταται ὡς πρόσωπον, ὡς δείκνυσι τὸ ἐκίδνατο. Ὁ Σχολιαστὴς ποιεῖ τὴν ἑξῆς διαστολήν· «Κροκόπεπλος δὲ ἡ Ἠὼς λέγεται, ὅταν πολὺ σκότος ἔχῃ, ὀλίγον δὲ φωτός. Τὸ δὲ ῥοδοδάκτυλος ἐναντίον».

[3] Ἐνταῦθα ὁ Ζεὺς καλεῖ ἀγορὰν τῶν θεῶν πρὸς ὡρισμένον σκοπόν, ὡς ἐν Υ 4. Ἡ ἐπίσημος αὕτη σύνοδος τῶν θεῶν διαφέρει τῶν συνήθων συνελεύσεων καὶ ὁμιλιῶν τούτων ἐν τοῖς ἀνακτόροις τοῦ Διός, ὡς ἐν Δ 1 καὶ Η 443.

[4] Συνήθως τὸ ἐπίθετον θεωρεῖται σύνθετον ἐκ τοῦ τέρπω καὶ κεραυνός, κατὰ δὲ τὴν σύνθεσιν ταύτην σημαίνει τὸν τερπόμενον ἐπὶ τοῖς κεραυνοῖς. Παρὰ τῷ Ἡσυχίῳ ὅμως τὸ πρῶτον συνθετικὸν εἶναι διάφορον· «Εἰ δὲ ἀπὸ τοῦ τρέπω παρὰ τὸ τρέπειν τοὺς ἐ-

ἀκροτάτῃ κορυφῇ[1] πολυδειράδος Οὐλύμποιο.
αὐτὸς[2] δέ σφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντες ἄκουον·
«Κέκλυτέ μευ, πάντες[3] τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ'[4] εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτε τις οὖν θήλεια[5] θεὸς τό γε μήτε τις ἄρσην
πειράτω διακέρσαι[6] ἐμὸν ἔπος, ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα[7].
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε[8] θεῶν ἐθέλοντα νεήσω
ἐλθόντ'[9] ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
πληγεὶς[10] οὐ κατὰ κόσμον ἐλεύσεται Οὐλυμπόνδε·

ναντίους τῷ χεραυνῷ». Κατὰ τὸν Meyer ὅμως, οὗ τὴν γνώμην ἐπιδοκιμάζει ὁ μέγας ἐτυμολόγος Curtius, τερπικέραυνος = τρέπων (ἤτοι διευθύνων) κεραυνόν. Ὅρα λεξ. Ebeling. ἐν λ.

[1] Ἐνταῦθα κατῴκει ὁ Ζεύς, ὡς γίνεται δῆλον ἐν Α 499 καὶ Ε 754.

[2] Καὶ ὁ ἴδιος ἠγόρευε μεταξὺ αὐτῶν, οἱ δὲ θεοὶ ἠκροῶντο τούτου.

[3] Ὁ Düntzer εἰκάζει ἐκ τοῦ χωρίου Ο 187, ὅτι μόνον οἱ Ὀλύμπιοι θεοὶ εἶναι παρόντες, οὐχὶ δὲ ὁ Ποσειδῶν καὶ ὁ Ἅδης· διότι ὁ πρῶτος ἐν τῷ εἰρημένῳ χωρίῳ δὲν γινώσκει τὴν ἀπαγόρευσιν.

[4] Ἐν τοῖς ἀρίστοις χειρογράφοις ὁ στίχος οὗτος δὲν ὑπάρχει.

[5] Κατὰ μὲν τὸν Döderlein ἡ λέξις παράγεται ἐκ τοῦ θηλή (μαστός), κατ' ἄλλους δὲ εἶναι συγγενὴς τοῦ θαλερός. Προετάχθη τὸ θήλεια θεὸς μετ' ἐμφάσεως, διότι ὁ Ζεὺς ὑπαινίσσεται τὴν ἀντιλέγουσαν καὶ ἀπειθοῦσαν Ἥραν. Τὸ τό γε εἶναι ἀντικείμενον τοῦ πειράτω καὶ ἐπεξηγεῖται διὰ τοῦ ἀπαρεμφάτου διακέρσαι.

[6] Ἀόριστος τοῦ διακείρω, ὅπερ σημαίνει διατέμνω, διακόπτω.

[7] Ποῖα εἶναι τάδε ἔργα, δὲν λέγει διαρρήδην ὁ Ζεύς. Ὑποτίθενται ὅμως γνωστὰ ἐκ τοῦ λόγου αὐτοῦ μετὰ τῆς Ἥρας ἐν Α 558 ἐν παραβολ. πρὸς 564. Εἶναι δὲ ἡ πίεσις τῶν Ἀχαιῶν, ὅπως τιμηθῇ ὁ Ἀχιλλεύς.

[8] Ὁ λόγος τοῦ Διὸς ὑποτίθησιν, ὅτι οἱ λοιποὶ θεοὶ εὐπειθεῖς ὄντες θέλουσι μείνει ἐπὶ τοῦ Ὀλύμπου. Παρακοὴν δηλοῖ ὁ ἀποχωρισμός. Τὸ ἐθέλοντα ληπτέον ὡς κατηγορηματικὸν εἰς τὸ ὄν.

[9] Συντακτικῶς ἀνήκει εἰς τὸ ἀρηγέμεν· ὄν τινα δὲ ἐγὼ καταλάβω ἀποχωριζόμενον τῶν θεῶν, ἵνα ἐλθὼν βοηθήσῃ τοὺς Τρῶας ἢ τοὺς Δαναούς.

[10] Ὁ Koch ἐννοεῖ ἀληθεῖς ῥαβδισμούς, ὡς λέγει ὁ ποιητὴς περὶ

ἦ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον [1] ἠερόεντα,
τῆλε μάλ' [2], ἦχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον [3],
ἔνθα σιδήρειαί [4] τε πύλαι καὶ χάλκεος οὐδός,
τόσσον [5] ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' [6] ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες.
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες [8]

τοῦ Θερσίτου ἐν Β 264 «πεπληγὼς ἀγορῆθεν ἀεικέσσι πληγῆσιν». Πιθανώτερον ὅμως εἶναι, ὅτι ὁ Ζεὺς θέλει πλήξει διὰ κεραυνοῦ, ὡς δέχονται οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν. Ὅρα καὶ κατωτέρω 455 καὶ Ο 117. Ὁ Σχολιαστὴς μετὰ πολλῆς τῆς πιθανότητος λέγει, ὅτι ἡ ἑπομένη φράσις δὲν συντάσσεται μετὰ τοῦ πληγείς, ἀλλὰ μετὰ τοῦ ἑπομένου ῥήματος· «Ἄμεινον ὑποστίζειν εἰς τὸ πληγείς, καὶ ἔστιν ἀντὶ τοῦ κεραυνωθείς».

[1] Ὅ τι εἶναι διὰ τοὺς ἀνθρώπους ὁ Ἅδης, τὸ αὐτὸ εἶναι διὰ τοὺς θεοὺς ὁ Τάρταρος, ὅστις ἦτο φοβερὸς διὰ τὸ σκότος. Διὰ τοῦτο λέγεται ἠερόεις = σκοτεινός.

[2] Ἐπιτείνει τὴν προηγουμένην ἔννοιαν· οὐχὶ ἁπλῶς εἰς τὸν Τάρταρον, ἀλλ' εἰς τὸ βαθύτατον μέρος αὐτοῦ.

[3] Ἀττικῶς λέγεται βάραθρον, ὅπερ ἦτο εἱρκτὴ ἐν Ἀθήναις, Ξενοφ. ἐν Ἑλλην. 1, 7, 21 καὶ Δείναρχ. κατὰ Δημοσθέν. 40. Κατὰ τὸν Döderlein παράγεται ἐκ τοῦ βέρειν, ἐξ οὗ καὶ τὸ βορά, ὡς καὶ τὸ ὄλεθρος ἐκ τοῦ ὀλλύναι.

[4] Τὰ ἐπίθετα σιδήρειαι καὶ χάλκεος δηλοῦσιν, ὅτι ἡ εἱρκτὴ εἶναι στερεὰ καὶ ὁ τόπος δυσεξίτητος. Ὀλίγον διαφόρως λέγει ὁ Ἡσίοδος ἐν Θεογον. 811 «ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδός».

[5] Ὁ στίχος οὗτος ὑπάρχει καὶ παρ' Ἡσιόδῳ ἐν Θεογον. 720. Ὁ ποιητὴς οὗτος λέγει χάλκεος ἄκμων ἐκ τοῦ οὐρανοῦ ῥιπτόμενος τὴν δεκάτην ἡμέραν δύναται νὰ πέσῃ ἐπὶ τῆς γῆς· ὁ αὐτὸς δὲ χρόνος ἀπαιτεῖται καὶ ἀπὸ τῆς γῆς μέχρι τοῦ Ταρτάρου.

[6] Τὸ ὑποκείμενον τοῦ ῥήματος εἶναι, ὃς ἀπάνευθε θεῶν ἐθέλει Τρώεσσιν ἢ Δαναοῖσιν ἀρηγέμεν.

[7] Παρελείφθη τὸ βούλεσθε, ὡς ἐν Α 302 τὸ βούλει. Ἐὰν ὅμως θέλητε, ἔλθετε νὰ δοκιμάσητε.

[8] Ἐπειδὴ ἕπεται ὁ δέ, ἡ μετοχὴ οὐδαμοῦ ἀποδίδεται καὶ μένει οἱονεὶ ἀνακόλουθος. Τοῦτο παρατηρήσας ὁ Νικάνωρ συνάπτει τὸν στίχον τοῦτον μετὰ τῶν ἡ-

πάντες δ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε [1]
Ζῆν' [2], ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ [3] ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ [4] κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα [5] περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα [6] πάντα γένοιτο.
τόσσον [7] ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων».
Ὣς [8] ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ

γουμένων, ὡς λέγει ὁ Σχολιαστής· «Τοῦτον δὲ καὶ τὸν ἑξῆς συνάπτει Νικάνωρ· εἰς δὲ τὸ χρεμάσαντες τελείαν τίθησιν». Ἀλλὰ τὴν σύνδεσιν ταύτην ἐκ τῶν νεωτέρων μόνον ὁ Döderlein δέχεται. Ὁ δὲ Bekker καὶ ὁ Düntzer πρὸς ἄρσιν τοῦ ἀνακολούθου γράφουσι πάντες τ' ἀντὶ πάντες δ'. Ἀλλὰ τὸ ἀνακόλουθον ἁρμόζει εἰς τὸ πάθος τοῦ λόγου.

[1] Δὲν θέλετε δυνηθῇ νὰ καθελκύσητε ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν.

[2] Δὲν λέγει ἐμέ, ἀλλὰ Ζῆνα μετὰ φρονήματος.

[3] Ὡς καὶ ὑμεῖς. Πρόφρων σημαίνει μετὰ σπουδῆς.

[4] Ὁ Εὐστάθιος παρατηρεῖ· «Τὸ δέ, αὐτῇ γαίῃ, αὐτῇ θαλάσσῃ, Ἀττικοῖς σύνηθες, ἐλλιπὲς τῆς σὺν προθέσεως, ὁποῖον καὶ τό, αὐτοῖς ἀνδράσι βεβύθισται ναῦς». Εἶναι ἄξιον σημειώσεως, ὅτι ὁ Ζεὺς θέλει ἀνελκύσει τὴν γῆν καὶ τὴν θάλασσαν, ἐν ᾧ ταῦτα δὲν εἶναι δεδεμένα διὰ τῆς ἁλύσεως. Ἴσως ὁ Ζεὺς ὑποτίθησιν, ὅτι οἱ θεοὶ θέλουσιν ἀντέχεσθαι τῆς γῆς, ὁπως μὴ ἀνελκυσθῶσιν. Ὁ λόγος τοῦ Διὸς ἔχει τι ἁπλοϊκόν, ἀλλὰ πάντως εἶναι ἡ μεγαλοπρεπεστάτη εἰκών, ἣν ἐπενόησεν ἡ φαντασία τῶν ὁμηρικῶν ἀνθρώπων.

[5] Ἀφ' οὗ ἀνελκύσει. Ῥίον λέγεται ἡ ἐξέχουσα κορυφὴ ὄρους, ὡς ι, 191 «οὐδὲ ἐῴκει ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι ὑψηλῶν ὀρέων». Τὸν στίχον τοῦτον καὶ τὸν ἑπόμενον ἠθέτει ὁ Ζηνόδοτος. Πάντως εἶναι παράδοξον, ὅτι ὁ Ὄλυμπος καίπερ ἔχων κορυφὴν ὅμως δὲν εἶναι τὸ γνωστὸν ὄρος, ἀλλά τι ἐκτὸς τῆς γῆς. Εἶναι ὁ οὐρανός; Ἀλλὰ πῶς ἐξηγεῖται, ὅτι ἔχει ῥίον;

[6] Ἀττικῶς λέγεται μετέωρος ἐκ τῆς μετὰ καὶ ἀείρω. Οὕτω λέγεται ὁ μὴ στηριζόμενος ἐπὶ τῆς γῆς, ὁ ἐναέριος.

[7] Τόσον ἐγὼ εἶμαι ἀνώτερος καὶ ἀπὸ τοὺς θεοὺς καὶ ἀπὸ τοὺς ἀνθρώπους.

[8] Οἱ στίχοι 28—40 ἀθετοῦνται

μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.
ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
«Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων [1],
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν [2].

ὑπὸ τῶν ἀρχαίων, οἵτινες εἴχαζον, ὅτι ἐλήφθησαν ἄλλοθεν, ὡς λέγει ὁ Σχολιαστής. «Ἐντεῦθεν ἕως τοῦ «πρόφρονι μυθεόμαια» ἀθετοῦνται στίχοι ιγ', ὅτι ἐξ ἄλλων τόπων μετάκεινται». Οὕτως στίχοι τινὲς ἐπαναλαμβάνονται κατωτέρω 463-468, ἀφ' οὗ ὁ Ζεὺς τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν διὰ φοβερῶν ἀπειλῶν ἐκ τῆς μάχης ἀπέτρεψεν. Ὡσαύτως οἱ στίχοι 39 καὶ 40 ἀπαντῶσιν ἐν Χ 183. Δὲν πρόκειται περὶ ἐπαναλήψεων, αἵτινες εἶναι συνήθεις τῷ Ὁμήρῳ, ἀλλὰ περὶ ἀτόπου, ὅπερ οἱ νεώτεροι ἑρμηνευταὶ ἀδυνατοῦσι νὰ ἄρωσιν. Ἀφ' οὗ ὁ Ζεὺς ἠπείλησε δεινῶς τοὺς θεούς, μετὰ τὸν λόγον τῆς Ἀθηνᾶς λέγει· οὐ νύ τι θυμῷ πρόφρονι μυθέομαι, δηλ. δὲν ἐννοεῖ τὸ πρᾶγμα οὕτω σπουδαίως, ὡς λέγει. Ὁ Nitzsch ἐξηγεῖ τὸ ἄτοπον λέγων, ὅτι ἡ διαβεβαίωσις τοῦ Διὸς ἀναφέρεται εἰς τὸ πάντες ἐν στίχ. 37. Ὁ Henize ὅμως παρατηρεῖ, ὅτι ὁ Ζεὺς ἐν τῷ προηγουμένῳ λόγῳ δὲν ὡμίλησε περὶ ὀλέθρου τῶν Ἀχαιῶν, ἀλλὰ μόνον περὶ τῶν θεῶν τῶν ἀνθισταμένων εἰς τὴν θέλησιν αὐτοῦ. Ἡμεῖς παρατηροῦμεν, ὅτι τῶν στίχων τούτων ἐξαλειφομένων ὁ ποιητὴς δὲν ἤθελεν εἰπεῖ, πῶς ὁ τοῦ Διὸς λόγος ἐπέδρασεν ἐπὶ τῶν ἄλλων θεῶν καὶ ἤθελε σιωπήσει ἡ Ἀθηνᾶ, ὅπερ ἤθελεν εἶναι ἀσύνηθες. Ἀφ' οὗ ἡ θεὰ ὡμολόγησε τὴν μεγάλην τοῦ πατρὸς δύναμιν καὶ ἐν ὀνόματι τῶν ἄλλων θεῶν ὑπέσχετο, ὅτι θέλουσιν ἀποστῆ τοῦ πολέμου, ὁ Ζεὺς ἀφωπλίσθη διὰ τοῦ λόγου τῆς ἀγαπητῆς αὐτοῦ θυγατρὸς καὶ καμφθεὶς ἠθέλησε νὰ φανῇ εὐχάριστος. Ἡ θέσις ἴσως εἶναι ὀλίγον γελοία, ἀλλ' εἶναι φυσική, τὴν δὲ φυσικὴν ἀλήθειαν πανταχοῦ ἀναζητεῖ ὁ Ὅμηρος. Καὶ ὁ Εὐστάθιος οὕτως ἑρμηνεύει τὴν μεταβολήν· «Καὶ ὅρα ὅπως θυμὸς κολακευόμενος μαλθάσσεται καὶ κατὰ τὰ δεινὰ τῶν θηρίων εἴκει τοῖς τιθασσεύουσι. Κατὰ γὰρ τὴν τραγῳδίαν ψυχῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι».

[1] Οὐ μόνον οἱ βασιλεῖς τῶν θνητῶν λέγονται κρείοντες, ἀλλὰ καὶ οἱ θεοί, ὡς Θ 208, Ν 10, Ξ 150. Τοὺς μετρίους τούτους λόγους λέγει ἡ Ἀθηνᾶ· ἂν δὲ ἠγόρευεν ἡ Ἥρα, ἤθελε διεγερθῇ μεγάλη ἔρις.

[2] Τὸ ἐπίθετον ἔχει παθητικὴν σημασίαν, οὐκ εὐσυγχώρητος, ἀκαταμάχητος. Σημειωτέον, ὅτι

ἀλλ' ἔμπης [1] Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
εἴ κεν δὴ [2] κακὸν εἶτον ἀναπλήσαντες ὄλωνται.
ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις [3]·
βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ' [4], ἥτις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο [5] τεοῖο».

Τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς·
«Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι [6] μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι».

Ὣς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο [7] χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν [8] κομόωντε,
χρυσὸν [9] δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο [10] δ' ἰμάσθλην

εὕρηται καὶ οὐκ ἀλαπαδνόν, ὅπερ ὁ Bekker παρέλαβεν εἰς τὸ κείμενον. Γνωρίζομεν, ὅτι ἡ δύναμίς σου εἶναι ἀκατάβλητος.

[1] Κατ' ἄλλους μὲν ἑρμηνεύεται ἀλλ' ὅμως, κατ' ἄλλους δὲ ἀλλ' ὅλως.

[2] Φανερά, ἀναμφιβόλως, ὡς ἐξάγεται ἐκ τοῦ λόγου τοῦ Διός. Οἱ ὁποῖοι κακὴν μοῖραν τελειώσαντες θὰ ἀπολεσθῶσιν.

[3] Οὕτως ἔγραφεν ὁ Ἀρίσταρχος, ἄλλοι δέ, εἰ σὺ κελεύεις.

[4] Θὰ δώσωμεν ὅμως συμβουλὴν εἰς τοὺς Ἀργείους.

[5] Ἡ γενικὴ ἀπόλυτος περιέχει τὸ αἴτιον τοῦ ὄλωνται. Τὸ δὲ τεοῖο μόνον ἐνταῦθα καὶ ἐν στίχ. 468 κεῖται ἀντὶ τῆς προσωπικῆς ἀντωνυμίας σεῖο ἢ σεῦ. Κυρίως εἶναι γενικὴ τῆς κτητικῆς ἀντωνυμίας τεόν.

[6] Δὲν ὁμιλῶ σπουδαίως. Τῶν Σχολιαστῶν τις παρατηρεῖ· «Εἰρωνεύεται αὐτήν», ὅπερ δὲν εἶναι πολὺ πιθανόν.

[7] Ἐνταῦθα τὸ τιτύσκεσθαι σημαίνει ζευγνύναι, ζεύγνυσθαι, ὑπὸ ζυγὸν ἄγειν. Ὁ Ζεὺς μετὰ τὴν ἀπειλὴν προβαίνει εἰς τὸ ἔργον. Εὐφυῶς δὲ ὁ Σχολιαστὴς παρετήρησεν· «Οἰκεῖον τῷ ἀπειλοῦντι τὸ αὐτουργεῖν». Χαλκόπους λέγεται ὁ ἔχων χαλκᾶ πέταλα, ὡς ἐν Ν 23.

[8] Κατὰ τὸν Döderlein ὡς ἐκ τοῦ ῥέπειν γίνεται ἐρείπειν, οὕτως ἐκ τοῦ θέρειν γίνεται ἐθείρειν, ἐξ οὗ ἔθειρα = ἡ καλῶς ἐπιμεμελημένη κόμη.

[9] Ὁ μὲν Εὐστάθιος ἑρμηνεύει· «χρυσέαν σκευήν», ὁ δὲ Σχολιαστής· «ἀντὶ τοῦ χρυσῆν πανοπλίαν».

[10] Ἔλαβε, ἕλετο, εἶναι δὲ ἀόριστος ἀχρήστου θέματος. Οἱ νεώτεροι ἐπιδοκιμάζουσι τὴν γνώμην τοῦ διαπρεποῦς ἐτυμολόγου Κουρ-

χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου.
μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόντος.
Ἴδην δ' ἵκανεν πολυπίδακα [1], μητέρα θηρῶν,
Γάργαρον [2]· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις [3].
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν,
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων [4],
εἰσορόων [5] Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.

τίου, ἀνάγοντος τὸ ῥῆμα εἰς τὴν ῥίζαν γερ. σημαίνουσαν λαμβάνειν. Ἡ λέξις ἱμάσθλη παραγομένη ἐκ τοῦ ἱμάσσω (ἱμὰς) σημαίνει μάστιγα.

[1] Ἡ πολλὰς πηγὰς ἔχουσα· πίδακες εἶναι αἱ μικραὶ ἀναδόσεις τῶν ὑδάτων. Κατὰ τὸν Σχολιαστὴν ἡ Ἴδη λέγεται μήτηρ θηρῶν διὰ τὴν ἐξῆς αἰτίαν· «Λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τοὺς ἐλάφους ἀναιροῦσιν, εἱλόμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, καὶ τοῖς δένδροις προσαρτῶντες αὐτούς, καὶ οὕτω διαφθείροντες».

[2] Περὶ τοῦ ἐτύμου τῆς λέξεως ὁ Εὐστάθιος λέγει· «κληθὲν οὕτω διὰ τὰ ἐκεῖ ἀναδιδόμενα ὕδατα, καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον, ἐξ οὗ καὶ ἐφ' ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται καὶ ὁ γαργαρεών». Καὶ ἡμεῖς λέγομεν, κάμνω γαργάραις πρὸς θεραπείαν νοσήματος τοῦ λαιμοῦ. Κατὰ τὸν Döderlein ἡ λέξις ἐγένετο κατ' ἀναδιπλασιασμὸν ἐκ τῆς ῥίζης, ἐξ ἧς καὶ τὸ γηρύεσθαι. Τοιοῦτον εἶναι καὶ τὸ γαργαίρειν, Ἀριστοφάν. ἐν Εἰρήν. 3 «ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις». Τὰ ἀκρωτήρια τῆς Ἴδης εἶναι τρία, Γάργαρον, Λεκτόν, Φαλάκρα. Ὅρα δέ, ὅτι προτάσσει τὸ ὅλον καὶ ἐπιτάσσει τὸ μέρος ὡς ἐπεξήγησιν, ὡς ἐν Ξ 284.

[3] Ἐκ τοῦ θύος=θυμίαμα. Κατὰ τοῦτο σημαίνει βωμὸν πλήρη θυμιαμάτων. Διὰ τὸ τέμενος τοῦτο καὶ τὸν βωμὸν ὁ Ζεὺς ὀνομάζεται Ἰδαῖος καὶ Ἴδηθεν μεδέων.

[4] Γαυριῶν, χαίρων διὰ τὴν δόξαν του. Χαίρει δὲ ὁ Ζεύς, διότι οἱ ἄλλοι θεοὶ φοβηθέντες τὸν λόγον αὐτοῦ ἀπέσχον τῆς μάχης.

[5] Ἐκ τῆς Ἴδης ἠδύνατο ὁ θεὸς νὰ βλέπῃ τὸ Τρωικὸν πεδίον, ὡς καὶ ὁ Εὐστάθιος παρατηρεῖ· «Καὶ δοκεῖ παραλάληµα εἶναι τοῦτο ἐτυμολογικόν· εἰ γὰρ ἐκεῖθεν εἰσορᾷ ὁ Ζεὺς τὰ εἰρημένα ὡς τοῦ τόπου δεξιοῦ ὄντος ἰδεῖν, ὀρθῶς ἄρα Ἴδη τὸ ὄρος ἐκεῖνο λέγεται». Διὰ τῆς φράσεως Τρώων πόλιν

Οἱ δ' ἄρα δεῖπνον ἕλοντο κάρῃ κομόωντες Ἀχαιοὶ
ῥίμφα [1] κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ [2] θωρήσσοντο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο,
παυρότεροι [3]· μέμασαν δὲ καὶ ὡς [4] ὑσμῖνι μάχεσθαι,
χρειοῖ [5] ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ' ὠΐγνυντο πύλαι [6], ἐκ δ' ἔσσυτο λαός,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.

Οἱ [7] δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.

Ὄφρα [8] μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' [9] ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός·

δὲν ἐννοεῖ μόνον τὴν πόλιν, ἀλλὰ πρὸ πάντων τὴν περιοχήν, ἔνθα ἐγίνετο ἡ μάχη.

[1] Ἐκ τοῦ ῥίπτω, ταχέως, ἁρπαχτά.

[2] Δηλαδὴ ἀπὸ τοῦ δείπνου, ἤτοι μετὰ τὸ δεῖπνον.

[3] Τοῦτο λέγεται μετ' ἐμφάσεως. Πόσον οἱ Τρῶες ἦσαν ὀλιγώτεροι τῶν Ἀχαιῶν, ὅρα Β 123.

[4] Καὶ οὕτως, ἂν καὶ ἦσαν ὀλιγώτεροι.

[5] Ἐξ ἀναγκαίας χρείας, διὰ μεγάλην ἀνάγκην, ἣν ἐπεξηγεῖ διὰ τῶν ἑπομένων.

[6] Δὲν ἐννοεῖ πάσας τὰς πύλας, ἀλλὰ μόνον τὰς Σκαιάς, ὡς παρετήρησε καὶ ὁ Σχολιαστής· «τὸ δὲ πᾶσαι ἀντὶ τοῦ ὅλαι».

[7] Οἱ ἑξῆς ἓξ στίχοι ἑρμηνεύονται ἐν Δ 446.

[8] Μετεχειρίσθη τὸ ἀσύνδετον, διότι ὁ ὁρισμὸς οὗτος τοῦ χρόνου κεῖται ἐν τῇ περιγραφείσῃ θέσει τῶν πραγμάτων. Ὁ Ὅμηρος διαιρεῖ τὴν ἡμέραν εἰς τρία ἐν Φ 111· «ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ». Τὸ ἦμαρ, ὡς καὶ τὸ κνέφας ἐν Λ 194, λέγεται ἱερόν, διότι παράγεται ὑπὸ θείας δυνάμεως.

[9] Κατὰ τὸν Ameis προσδιορίζει τὸ ἀμφοτέρων, ὡς ἀλλαχοῦ τὸ π ά ν τ ε ς. Ἡ γενικὴ ἀμφοτέρων προσδιορίζει τὸ β έ λ ε', τὸ δὲ ἥπτετο κεῖται ἄνευ ἀντικειμένου. Ἡ ὅλη φράσις ὑποδηλοῖ, ὅτι ἡ μάχη ἦτο ἀμφιρρεπὴς ἐν Λ 336.

ἦμος δ' Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει [1],
καὶ τότε δὴ χρύσεια πατὴρ [2] ἐτίταινε τάλαντα,
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος [3] θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
ἕλκε [4] δὲ μέσσα λαβών· ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν.
[αἱ μὲν Ἀχαιῶν κῆρες [5] ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἐζέσθην [6], Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.]
αὐτὸς [7] δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δὲ
ἧκε σέλας [8] μετὰ λαὸν Ἀχαιῶν· οἱ δὲ ἰδόντες

[1] Δηλαδὴ ἐγένετο μεσημβρία.

[2] Βραχυλογικῶς ἀντὶ πατὴρ ἀνδρῶντε θεῶντε. Ἐπειδὴ ὁ Ζεὺς τὸν ὄλεθρον πολλῶν Ἀχαιῶν εἶχεν ἀποφασίσει ἤδη, ὡς γίνεται δῆλον ἐν Α 5, ἡ ζυγοστάτησις ἐνταῦθα οὐδὲν ἄλλο εἶναι ἢ συμβολικὴ εἰκὼν πρὸς δήλωσιν τῆς ἀποφάσεως τοῦ Διός, ὡς νομίζει ὁ Ameis. Τοῦτο κυροῦται καὶ δι' ἄλλων χωρίων; Π 658· «γνῶ γὰρ Διὸς ἰρὰ τάλαντα» καὶ Τ 223· «ἐπὴν κλίνῃσι τάλαντα Ζεύς, ὅστ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται». Ἄλλοι ὅμως θεωροῦσι τοῦτο ὡς ἀπόδειξιν, ὅτι ἡ Μοῖρα εἶναι ὑπερτέρα τῶν θεῶν. Ὅρα Friedreich, die Realien, σελ. 626.

[3] Τινὲς νομίζουσιν, ὅτι τὸ δεύτερον συνδετικὸν μέρος τοῦ ἐπιθέτου εἶναι ἐκ τοῦ λέγειν = κεῖσθαι, ὅπερ δικαίως ἀποδοκιμάζεται. Πιθανώτερον ὁ Döderlein συντίθησιν ἐκ τοῦ ταναὸς καὶ ἄλγος καὶ τὸ α ἐτράπη εἰς η, τὸ δὲ ε παρενεβλήθη ὡς καὶ ἐν τῷ ἀλεγεινός.

[4] Ἐτράβα εἰς τὰ ἐπάνω, δηλ. ἔχει τὴν ἀντίθετον σημασίαν τοῦ καθέλκειν.

[5] Ἐν ᾧ πρὸ ὀλίγου εἶπε δύο κῆρε, νῦν λέγει πολλάς· ἀλλ' ὑπό τε τῶν Ἀλεξανδρινῶν καὶ τῶν νεωτέρων οἱ δύω οὗτοι στίχοι θεωροῦνται νόθοι.

[6] Τὸ ἐζέσθην μεταχειρίζεται ὁ Ὅμηρος μόνον ὡς δυϊκὸν ἐν Η 59, ο 134 καὶ χ 379. Ἐνταῦθα προηγεῖται πληθυντικὸν ὑποκείμενον καὶ ἕπεται τὸ ῥῆμα ἐν δυϊκῷ ἀριθμῷ, ὅπερ δὲν ἔχει ἀνάλογον. Τινὲς τὸ ἐζέσθην ἐθεώρησαν πληθυντικόν, ὡς τὸ ἐμιάνθην = ἐμιάνθησαν· ἀλλὰ τοῦτο δὲν ἐπιδοκιμάζεται. Καὶ τοῦτο ἴσως μαρτυρεῖ τὴν νοθείαν τοῦ χωρίου.

[7] Ὁ ἴδιος, ἐν ἀντιθέσει πρὸς τὴν χρίσιν τὴν δοθεῖσαν ὑπὸ τῆς πλάστιγγος.

[8] Ἡ λέξις εἶναι συγγενὴς πρὸς τὰς Σείριος καὶ σελήνη· συν-

θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
Ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ [1] μίμνειν οὔτ' Ἀγαμέμνων,
οὔτε δύ' Αἴαντες [2] μενέτην, θεράποντες Ἄρηος·
Νέστωρ οἷος ἔμιμνε Γερήνιος, οὖρος [3] Ἀχαιῶν,
οὔτι ἑκών, ἀλλ' ἵππος ἐτείρετο [4], τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν [5] ἐστιν.
ἀλγήσας δ' ἀνέπαλτο [6], βέλος δ' εἰς ἐγκέφαλον δῦ,
σὺν δ' ἵππους [7] ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ [8].
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνεν [9]
φασγάνῳ ἀΐσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι

ἦθος μὲν σημαίνει ἀστραπήν, ἐνταῦθα δὲ μόνον κεραυνόν.

[1] Εἶχε τὸ θάρρος νὰ μένῃ· ἡ ἀντίθεσις δύναται νὰ νοηθῇ, ἀλλ' ἔφυγεν ἢ ὑπεχώρει.

[2] Ὅρα, ὅτι μεταχειρίζεται πληθυντικὸν ἀριθμὸν μετὰ τὸ δύο.

[3] Τὸ ἐπίθετον τοῦτο ἀποδίδεται τῷ Νέστορι ἐνταῦθα καὶ ἐν Λ 840, Ο 370 καὶ 659 καὶ γ 411. Συνήθως ἑρμηνεύεται φύλαξ ἢ ἔφορος, περὶ τὸ ἔτυμον ὅμως ὑπάρχει διαφωνία. Ὁ Εὐστάθιος περὶ τούτου λέγει· «Γίνεται δὲ ὁ ῥηθεὶς οὖρος ἢ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω (προορῶνται γὰρ τὰ ἐπιόντα οἱ φύλακες, ὅθεν καὶ φρουροὶ λέγονται) ἢ παρὰ τὸν ὅρον τὸν ἐν τοῖς γηδίοις». Ὁ Damm ὅμως παράγει ἐκ τοῦ ὦ ρ α καὶ ὁ Zehlicke ἀπὸ τοῦ ὄρω, ὄ ρ ν υ μ ι· κατὰ τὴν τελευταίαν παραγωγὴν ἤθελε σημαίνει τὸν παρακινοῦντα, τὸν προτρέποντα.

[4] Κατετρύχετο, κατεπονεῖτο.

[5] Κατ' ἐξοχὴν δὲ εἶναι ἐπικίνδυνον. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Θανάσιμος δέ ἐστιν ὁ τόπος διὰ τὸ τὸν ἐγκέφαλον πλησιάζειν ταῖς μήνιγξιν».

[6] Ὁ ἵππος ἐκ τῶν πόνων ἀνετινάχθη.

[7] Τοὺς ἵππους τοῦ ἅρματος· ὁ τρωθεὶς ἦτο παρήορος, ὡς ἐν Π 152.

[8] Περιστρεφόμενος περὶ τὸ βέλος· ὁ ἵππος ἐπειρᾶτο διὰ παντοίων κινήσεων νὰ ἀποσπάσῃ τὸ βέλος.

[9] Ὁ παρατατικὸς ὑποδηλοῖ τὴν ἀσθένειαν τοῦ γέροντος. Τοῦτο διεγείρει τὸν οἶκτον τοῦ ἀκροατοῦ· διότι καὶ ὁ ἀσθενὴς μέν, πολύτιμος δὲ γέρων δὲν δύναται νὰ

ἦλθον ἀν' ἰωχμόν [1], θρασὺν ἡνίοχον φορέοντες
Ἕκτορα [2]. καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης·
σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
πῆ [3] φεύγεις μετὰ νῶτα βαλών, κακὸς [4] ὡς ἐν ὁμίλῳ;
μή τίς τοι φεύγοντι μεταφρένῳ [5] ἐν δόρυ πήξῃ.
ἀλλὰ μέν', ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα.»
Ὣς ἔφατ', οὐδ' ἐσάκουσε [6] πολύτλας δῖος Ὀδυσσεύς,
ἀλλὰ παρήϊξεν [7] κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδείδης δ', αὐτός [8] περ ἐών, προμάχοισιν ἐμίχθη,
στῆ δὲ πρόσθ' ἵππων Νηληϊάδαο γέροντος,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

φύγῃ καὶ ἐπέρχεται ὁ θρασὺς Ἕκτωρ.

[1] Ἐκ τοῦ ἰωχὴ καὶ σημαίνει δίωξιν, ταραχήν. Ἄξιον σημειώσεως, ὅτι ὁ ποιητὴς ὀνομάζει τὸν Ἕκτορα ἡνίοχον, ἐν ᾧ οὗτος ἦτο παραιβάτης. Ὁ ἥρως ἔχει ἡνίοχον τὸν Ἡνιοπέα, ὡς γίνεται δῆλον ἐν στίχ. 120. Ὅμοιον παράδειγμα ὑπάρχει καὶ ἐν Τ 101. Φαίνεται δέ, ὅτι θέλει νὰ ὑποδηλώσῃ, ὅτι αὐτὸς ὁ Ἕκτωρ διηύθυνε τὸ ἅρμα πρὸς τὸν ἰωχμόν.

[2] Ἔθηκε τὸ ὄνομα τοῦ Ἕκτορος ἐν τέλει τῆς περιόδου πρὸς ἔμφασιν.

[3] Τοῦτο εἶναι μᾶλλον ἀναβόησις πρὸς δήλωσιν περιφρονήσεως ἡ ἐρώτησις, δι' ἧς ὁ ἐρωτῶν ἐπιθυμεῖ νὰ μάθῃ τι.

[4] Ὡς δειλὸς ἐν τῷ πλήθει. Τοῦτο εἶναι δεινὴ προσβολή, διότι τὸν ἥρωα θεωρεῖ δειλὸν ὡς κοινὸν στρατιώτην.

[5] Ὡς αἱ πληγαὶ τοῦ στήθους εἶναι κόσμος, οὕτως αἱ τῶν νώτων ὄνειδος. Ἐνταῦθα εἶναι σχῆμα καθ' ὅλον καὶ μέρος.

[6] Δὲν ἔδωκε προσοχήν, δὲν ὑπήκουσεν. Οἱ ἀρχαῖοι ὅμως διεφώνουν, ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «πότερον οὐκ ἀντελάβετο καθόλου τῆς φωνῆς διὰ τὸν θόρυβον, ἢ ἀκούσας παρεπέμψατο· ὅπερ δέχεται ὁ Ἀρίσταρχος».

[7] Παρῆλθε δρομαίως. Ἡ φυγὴ τοῦ Ὀδυσσέως καταδεικνύει τὸ ἡρωϊκὸν τοῦ Διομήδους θάρρος.

[8] Ἐνταῦθα σημαίνει μόνος. Λέγεται δὲ ἐν ἀντιθέσει πρὸς τὸν Ὀδυσσέα, ὅστις ἔφυγεν. Ὁ ποιη-

«Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί,
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει [1],
ἠπεδανὸς [2] δέ νύ τοι θεράπων, βραδέες [3] δέ τοι ἵπποι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,
οὕς ποτ' [4] ἀπ' Αἰνείαν ἐλόμην, μήστωρε [5] φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε [6] δὲ νῶϊ
Τρωσὶν ἐφ' ἱπποδάμοις ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται [7] ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν.»

τὴς ἐννοεῖ τοὺς προμάχους τῶν Τρώων, διότι οἱ τῶν Ἀχαιῶν εἶχον φύγει.

[1] Ἀκολουθεῖ, διώκει.

[2] Τὸ ἔτυμον τῆς λέξεως ἀμφίβολον· διότι τινὲς μὲν νομίζουσιν, ὅτι εἶναι ἐκτενέστερος τύπος τοῦ ἦπιος, ὁ δὲ Döderlein θεωρεῖ ὡς σύνθετον ἐκ τοῦ α (στερητ.) καὶ πέδον. Κατὰ τὴν σύνθεσιν ταύτην ἔχει ἀντίθετον σημασίαν τοῦ ἔμπεδος, ἤτοι σημαίνει τὸν οὐκ ἔχοντα ἔμπεδα γυῖα ποδῶν N 512.

[3] Τοῦτο ὑποδηλοῖ, διὰ τί ὁ Νέστωρ εἶχε παρήορον ἵππον. Φαίνεται παράδοξον, ὅτι ὁ Διομήδης δὲν ἐμνημόνευσε τοῦ παρηόρου ἵππου, ὅστις ἤγαγε τὸν Νέστορα εἰς κίνδυνον.

[4] Τὸν στίχον ἠθέτουν οἱ ἀρχαῖοι, ὡς παραδίδει ἡμῖν ὁ Σχολιαστής· «Ἀθετεῖται, ὅτι ἄτοπον προστιθέναι τὴν ἱστορίαν τῷ εἰδότι, καὶ ὁ καιρὸς δεῖται συντομίας, καὶ ὅτι τὸ ποτὲ χρονικὴν ἔχει ἔμφασιν, τῆς ἀφαιρέσεως γεγονυίας τῇ πρὸ ταύτης ἡμέρᾳ». Τοὺς ἵππους ἀφείλετο ὁ Διομήμης ἐν E 257, ἀλλ' ἡ τελευταία παρατήρησις τοῦ Σχολιαστοῦ δὲν εἶναι ὀρθή· διότι τὸ ποτὲ δὲν ὁρίζει πόρρω ἢ ἐγγὺς χρόνον. Παραπλήσιον ὑπάρχει ἐν χ 290.

[5] Ἐκ τῶν ἀρίστων πηγῶν ἐβεβαιώθη ἡ γραφὴ μήστωρε καὶ οὐχὶ μήστωρα, ὡς τινες δέχονται, δηλ. ἀποδίδοται εἰς τοὺς ἵππους καὶ οὐχὶ εἰς τὸν Αἰνείαν. Ὅρα καὶ σημ. ἐν E 272.

[6] Ὅρα, ὅτι τὸ μὲν τούτω μετεχειρίσθη ἐπὶ τῶν ἵππων τοῦ Νέστορος, τὸ δὲ τώδε ἐπὶ τῶν ἰδίων ὡς ὄντων πλησιεστέρων. Θεράποντες ὀνομάζονται οἱ ἡνίοχοι, ὁ τοῦ Νέστορος καὶ ὁ τοῦ Διομήδους.

[7] Τὸ ὄφρα συνετάχθη πρὸς μέλλοντα τῆς ὁριστικῆς, ὡς καὶ ἐν Π 242. Πολλάκις παρὰ τοῖς ἀρχαίοις

Ὣς ἔφατ', οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην
ἴφθιμοι [1], Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ·
τὼ δ' εἰς ἀμφοτέρω [2] Διομήδεος ἅρματα βήτην·
Νέστωρ δ' ἐν χείρεσσι λάβ' ἡνία σιγαλόεντα [3],
μάστιξεν δ' ἵππους· τάχα δ' Ἕκτορος ἄγχι γένοντο [4].
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε [5] Τυδέος υἱός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' [6] ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου Θηβαίου [7], Ἠνιοπῆα,
ἵππων ἡνί' ἔχοντα βάλε στῆθος παρὰ μαζόν [8].
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν [9] δὲ οἱ ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι λύθη [10] ψυχή τε μένος τε.

ἐν πλαγίαις ἐρωτήσεσι τίθεται μόνον ἢ ἀντὶ ἢ εἰ. Τὸ δευτερον ἢ παρελείφθη, ἀλλ' εὐκόλως ἐννοεῖται. Ὁ καὶ ὑποδηλοῖ, ὅτι καὶ τὸ ἐμὸν δόρυ μαίνεται, οὐχὶ μόνον τὸ ἐκείνου. Προσωποποιεῖται τὸ δόρυ, ὡς ἀλλαχοῦ τὸ βέλος ἐν Δ 126.

[1] Ὁ La Roche προτιμᾷ τὴν γραφὴν ἴφθιμος, ἣν ἔχουσι δύω ἄριστα χειρόγραφα.

[2] Τὸ ἀμφοτέρω παρενέπεσε μεταξὺ τῆς προθέσεως καὶ τῆς συντακτικῆς πτώσεως, ὡς ἐν Ε 219.

[3] Περὶ τοῦ ἐτύμου καὶ τῆς σημασίας τῶν δύω λέξεων ὅρα ἐν Ε 116.

[4] Ταχέως δ' ἔφθασαν πλησίον τοῦ Ἕκτορος.

[5] Τὸ ἀκοντίζειν συνέταξε πρὸς γενικήν, ὡς τὸ ὀϊστεύειν ἐν Δ 100, τὸ τοξάζεσθαι ἐν χ 27. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἀντιχρυς βουλόμενον ὁρμᾶν».

[6] Διὰ τοῦ ὁ δὲ ἐξαίρει τὴν ταὐτότητα τοῦ ὑποκειμένου.

[7] Κατὰ τὸν Σχολιαστήν· «Οὐ τῷ γένει· κύριον γάρ ἐστιν ὄνομα, ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Αἰγύπτιος».

[8] Ἡ λέξις θεωρεῖται συγγενὴς πρὸς τὰς μάσσω, μᾶζα, μασσάομαι. Κατὰ τοὺς γραμματικοὺς μαζὸς λέγεται μόνον ἐπὶ ἀνδρός, ἀλλὰ φαίνεται, ὅτι τὸ κατ' ἀρχὰς μαζὸς καὶ μαστὸς διέφερον ἀλλήλων μόνον διαλεκτικῶς.

[9] Ὑπεχώρησαν. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὥσπερ τὸ ὑπεχώρησαν παρὰ τὴν χώραν, οὕτως τὸ ὑπερώησαν παρὰ τὴν ἔραν».

[10] Ἡ ψυχὴ θεωρεῖται συνδεδεμένη μετὰ τοῦ σώματος.

Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε [1] φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
κεῖσθαι, ὁ δ' ἡνίοχον μέθεπε [2] θρασύν. οὐδ' ἄρ' ἔτι δήν
ἵππω δευέσθην σημάντορος [3]· αἶψα γὰρ εὗρεν
Ἰφιτίδην Ἀρχεπτόλεμον [4] θρασύν, ὅν ῥα τόθ' ἵππων
ὠκυπόδων [5] ἐπέβησε, δίδου δέ οἱ ἡνία χερσίν.

Ἔνθα κε λοιγὸς [6] ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κε σήκασθεν [7] κατὰ Ἴλιον ἠΰτε ἄρνες,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
βροντήσας δ' ἄρα [8] δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόσθ' ἵππων [9] Διομήδεος ἧκε χαμᾶζε·
δεινὴ δὲ φλὸξ ὦρτο θείου [10] καιομένοιο,

[1] Συνεκάλυψε, περιεκάλυψε· τὸ ἄχος εἰκονίζεται ὡς νέφος, ὅπερ περιβάλλει τὰς φρένας. Ἡ δὲ γενικὴ ἡνιόχοιο συντακτέα μετὰ τοῦ ἄχος.

[2] Ἀνεζήτει. Καὶ ὁ ἡνίοχος εἶναι θρασὺς ὁμοψυχῶν τῷ Ἕκτορι.

[3] Ὁ ἡνίοχος ὀνομάζεται σημάντωρ, διότι δίδει τὸ σημεῖον εἰς τοὺς ἵππους, ὁδηγεῖ αὐτούς.

[4] Ὁ Ζηνόδοτος ἐνταῦθα ἔγραφεν, Ἐρασιπτόλεμον.

[5] Ἐννοεῖ τὸ πολεμικὸν ἅρμα, ἂν καὶ προσέθηκε τὸ ἐπίθετον ὠκυπόδων.

[6] Ἤθελε γείνει ὄλεθρος, καταστροφή. Ὁ ποιητὴς δὲν περιέγραψε πολλὰς πράξεις τοῦ Διομήδους, δι' ἃς ἠδύνατο νὰ ἐξηγηθῇ ἡ ἀπελπιστικὴ τῶν Τρώων θέσις. Ἀλλὰ φαίνεται, ὅτι πολλὰ παρέλειψε συγκαταspεύδων τοῖς πρατομένοις τὴν φράσιν.

[7] Ἐκ τοῦ σηκός, ἣν ὁ Curtius θεωρεῖ συγγενῆ τοῦ saepio, περιφράττω. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Εἰς σηκὸν κατεκλείσθησαν. Σηκὸς δὲ εἴρηται οἱονεὶ στηκός τις ὤν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ θρέμματα. Ἔνθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναόν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ ἀγάλματα».

[8] Μόνον ἐνταῦθα ἔχει τὴν τελικὴν συλλαβὴν βραχεῖαν πρὸ τοῦ δεινός. Ἀργὴς δὲ σημαίνει τὸν λαμπρόν, τὸν ἀπαστράπτοντα. Διὰ τοῦτο ὁ Ζεὺς λέγεται ἀργικέραυνος.

[9] Ὁ Ζεὺς δὲν θέλει νὰ βλάψῃ τὸν Διομήδη, ἀλλὰ μόνον νὰ ἐκδειματώσῃ.

[10] Ὁ κεραυνὸς πίπτων ἐπὶ τῆς γῆς διασκεδάννυσι θεῖον.

τὼ δ' ἵππω δείσαντε καταπτήτην [1] ὑπ' ὄχεσφιν.
Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία σιγαλόεντα·
δεῖσε δ' ὅγ' ἐν θυμῷ, Διομήδεα δὲ προσέεπεν·
«Τυδείδη, ἄγε δὴ αὖτε [2] φόβονδ' ἔχε μώνυχας ἵππους,
ἦ οὐ γιγνώσκεις, ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή [3]; 140
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον [4]· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλῃσιν,
δώσει [5]. ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ πολὺ φέρτερός ἐστιν [6].»
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Διομήδης· 145
«Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
ἀλλὰ τόδ' [7] αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
Ἕκτωρ γάρ ποτε φήσει [8] ἐνὶ Τρώεσσ' ἀγορεύων·

[1] Ἀόριστος β′ τοῦ καταπτήσσω· ἐζάρωξαν.

[2] Ἐνταῦθα γίνεται συνίζησις. Ἔλα λοιπὸν πάλιν διεύθυνε τοὺς μώνυχας ἵππους εἰς φυγήν. Ἐπειδὴ ὁ Νέστωρ ὡδήγει τοὺς ἵππους, ὁ Ameis εἰκάζει, ὅτι τὰ ἡνία ἔλαβεν ὁ Διομήδης, ὅτε ἔπεσαν ἐκ τῶν χειρῶν τοῦ Νέστορος. Ἀλλ' ἐν στίχ. 157 πάλιν ἔχει ταῦτα ὁ γέρων. Νομίζομεν ὅμως, ὅτι ἐνταῦθα δὲν πρόκειται περὶ τῆς πραγματικῆς ἐνεργείας, ἀλλὰ περὶ τῆς κελεύσεως πρὸς φυγὴν ἐξαρτωμένης ἐκ τοῦ Διομήδους, ὅστις ἦτο παραιβάτης.

[3] Μήπως δὲν καταλαμβάνεις, ὅτι δὲν ἀκολουθεῖ σοι ἐκ μέρους τοῦ Διὸς βοήθεια;

[4] Προσδιορίζει ἀκριβέστερον τὸ νῦν. Ἐτέθη δὲ τὸ ἐπίρρημα ἐν τέλει τῆς περιόδου πρὸς ἔμφασιν.

[5] Ἐννοεῖται τὸ ἀντικείμενον κῦδος. Ὁ δὲ Σχολιαστὴς λέγει. «Καὶ χρηστὰς αὐτῷ ὑπογράφει ἐλπίδας, ἵνα μὴ αἰδεσθῇ φυγεῖν ὡς ἂν μὴ δυνάμενος τὴν ἧτταν ἀναλαλέσασθαι». Ἀνὴρ ἐνταῦθα εἶναι ὁ βροτὸς ἐν ἀντιθέσει πρὸς τὸν θεόν· θνητὸς δὲν εἶναι δυνατὸν νὰ ἐμποδίσῃ κατά τι τὴν θέλησιν τοῦ Διός.

[6] Τὸ ὑποκείμενον τῆς προτάσεως νοεῖται ἐκ τῆς γενικῆς Διός, ἥτις προηγεῖται.

[7] Τὸ τόδε ἀναφέρεται εἰς τὰ ἑπόμενα καὶ ἐπεξηγεῖται διὰ τοῦ γάρ.

[8] Ὁ μέλλων φήσει ἀπαντᾷ μόνον ἐνταῦθα καὶ ἐν στιχ. 153. Ἡ ἑπομένη φράσις ἰσοδυναμεῖ πρὸς τὴν ἐν Τ ρ ώ ω ν ἀ γ ο ρ ᾷ.

Τυδείδης ὑπ' ἐμεῖο [1] φοβεύμενος ἴκετο νῆας.'
ὥς ποτ' ἀπειλήσει [2]· τότε μοι χάνοι εὐρεῖα χθών.»
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
«Ὦμοι [3], Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔεπες.
εἴπερ [4] γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων [5] ἀσπιστάων,
τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας.»
Ὡς ἄρα φωνήσας φύγαδ' [6] ἔτραπε μώνυχας ἵππους
αὖτις ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ [7]
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο [8].
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε μέγας κορυθαίολος Ἕκτωρ·
«Τυδείδη, περὶ [9] μέν σε τίον Δαναοὶ ταχύπωλοι

[1] Προέταξε τοῦτο πρὸς ἔμφασιν, οὐχὶ ὑπὸ τοῦ Διός, ἀλλ' ὑπ' ἐμοῦ· διωκόμενος ἔφθασε μέχρι τῶν νηῶν.

[2] Τοιουτοτρόπως θὰ καυχηθῇ, θὰ κομπάσῃ ποτέ. Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἑρμηνεύει, «Τότε ἡ γῆ χανοῦσα εὐρέως δέξαιτό με». Καὶ ἡμεῖς λέγομεν, ἂς σκάσῃ ἡ γῆ νά με καταπιῇ.

[3] Κατὰ τὸν Σχολιαστήν· «Διὰ τοῦ Ὦμοι τὸν λόγον ἐκραυλίζει ὡς ἀνάξιον ὄντα τοῦ λέγοντος».

[4] Ἐὰν ἀληθῶς εἴπῃ, ὅπερ ἀμφίβολον, ὡς ἐν Κ 115.

[5] Ἐξαίρει τοὺς Τρῶας τοὺς ὑπὸ τοῦ Διομήδους φονευθέντας, ὅπως ἐξυψώσῃ τὴν ἀνδρείαν τοῦ ἥρωος.

[6] Φύγαδε ἐπίρρημα, ὡς τὸ οἴκαδε, εἰς φυγήν. Ὅρα, ὅτι τοὺς ἵππους τρέπει εἰς φυγὴν οὐχὶ ὁ Διομήδης, ἀλλ' ὁ Νέστωρ, ὡς ὀρθῶς παρετήρησεν ὁ Σχολιαστὴς εἰπών· «Φρονίμως οὔτε ἀντίρρησιν Διομήδους ἀναμένει, οὔτε βιάζεται αὐτὸν φιλότιμον ὄντα φεύγειν ὁμολογεῖν, ἀλλ' αὐτὸς τρέπει τοὺς ἵππους, ἵνα μηδὲ ἐκ τούτων μειώσῃ Διομήδην ὁ ποιητής».

[7] Κανονικῶς προστάσσεται τὸ μέρος καὶ ἐπιτάσσεται τὸ ὅλον. Ὅταν συμβαίνῃ τὸ ἐναντίον, ὁ λέγων σκοπεῖ νὰ ἐξάρῃ τὸ μέρος, ὡς ἐνταῦθα.

[8] Ἡ μεταφορὰ ἐκ τῶν ὑγρῶν πρὸς δήλωσιν μεγάλης πληθύος.

[9] Περισσῶς μέν σε ἐτίμων οἱ Δαναοί.

ἔδρῃ [1] τε κρέασίν τ᾽ ἠδὲ πλείοις δεπάεσσιν·
νῦν δέ σ᾽ ἀτιμήσουσι· γυναικὸς [2] ἄρ᾽ ἀντὶ τέτυξο.
ἔρρε [3], κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι [4], οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω [5].»
Ὣς φάτο, Τυδείδης δὲ διάνδιχα [6] μερμήριξεν,
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι [7].

[1] Οἱ ἀριστεύοντες ἥρωες ἐλάμβανον τιμητικὴν θέσιν καὶ ἐτιμῶντο διὰ τῶν νώτων τῶν ζώων, ὡς ἐν Η 321.

[2] Ἡ παραβολὴ πολεμιστοῦ πρὸς γυναῖκα ἦτο ἄγαν προσβλητική. Διὰ τοῦτο καὶ ὁ Θερσίτης θέλων νὰ κακίσῃ τοὺς Ἀχαιοὺς λέγει τούτους Ἀχαιίδας ἐν Β 235. Λοιπὸν ἦτο ἴσος μὲ γυναῖκα. Ὁ ὑπερσυντελικὸς ὑποδηλοῖ, ὅτι ὁ Ἕκτωρ εἶχε διάφορον γνώμην περὶ Διομήδους, μέχρις ὅτου ἐγνώρισε τὴν δειλίαν αὐτοῦ.

[3] Τοὺς στίχους 164—168 ἠθέτει ὁ Ἀριστοφάνης καὶ ὁ Ἀρίσταρχος· «Ἀθετοῦνται στίχοι τρεῖς ὅτι εὐτελεῖς εἰσι τῇ κατασκευῇ, καὶ τὸ «πάρος τοι δαίμονα δώσω» τελείως ἐστὶν οὐ κατὰ τὸν ποιητήν· ἀνάρμοστα δὲ καὶ τὰ λεγόμενα τοῖς προσώποις». Ὄντως οἱ στίχοι ἔχουσι μέν τι ἀπροσδόκητον, ἀλλ᾽ εἶναι καὶ ἀναγκαῖοι· διότι ὁ ἀλαζὼν Ἕκτωρ δὲν ἠδύνατο νὰ εἴπῃ μόνον τοὺς δύω στίχους, ὅτε εἶδε τὸν Διομήδη φεύγοντα. Τὸ ἔρρε σημαίνει, εἰς κόρακας, χρημνίσου. Τὸ δὲ γ ν ή ν η ὁ Weber παράγει ἐκ τῆς ῥίζης γ α λ, ἐξ ἧς καὶ τὸ γάλα, γαλήνη· σημαίνει δὲ τὸ λαμπρόν. Κατὰ πρῶτον ἡ λέξις σημαίνει τὴν κόρην τοῦ ὀφθαλμοῦ, εἶτα δὲ τὴν κόρην, τὴν κοῦκλαν.

[4] Ἡ φράσις ἰσοδυναμεῖ πρὸς τήνδε· ο ὐ κ ε ἴ ξ ο μ α ί σ ο ι, ὥ σ τ ε ἐ π ι β ῆ ν α ι ἡ μ ε τ έ ρ ω ν π ύ ρ γ ω ν. Ὁ Εὐστάθιος παρατηρεῖ· «δοκεῖ ἀστείως εἰρῆσθαι, ὡς μὴ δυνατὸν ὂν τὸν ἀντὶ γυναικὸς τετυγμένον γυναῖκας ἀριστέων εἰς αἰχμαλωσίας ἀπάγειν».

[5] Ἀντὶ τῆς φράσεως ταύτης ὁ Ζηνόδοτος ἔγραφε, π ό τ μ ο ν ἐ φ ή σ ω. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «πρότερον γάρ σοι κακὸν θάνατον καὶ κακὴν εἱμαρμένην δώσω». Ἡμεῖς ἐν τοιαύτῃ περιστάσει λέγομεν, θά σε στείλω πρότερον εἰς τὸν διάβολον.

[6] Περὶ τοῦ ἐτύμου τοῦ δ ι ά ν δ ι χ α καὶ μερμήριξεν ὅρα Α 189. Τὸ μερμηρίζειν ἐνταῦθα συνέταξε πρὸς ἀπαρέμφατον, ὡς ἐν κ 152, 440 καὶ ω 236.

[7] Λείπει τὸ δεύτερον μέρος τῆς

τρὶς [1] μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
τρὶς δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺς
σῆμα τιθεὶς [2] Τρώεσσι, μάχης ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
«Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ' [3], ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ' [4] οὐδενόσωρα· τὰ δ' οὐ μένος ἀμὸν [5] ἐρύξει·
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
μνημοσύνη [6] τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω,

προτάσεως· διότι ὁ ποιητὴς ἔπρεπε νὰ εἴπῃ ἢ . . . ἤ. Σημειωτέον, ὅτι ἐν ταῖς ἀρχαίαις ἐκδόσεσιν ὑπῆρχεν ὁ στίχος, ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι, ὅστις εἶχε προστεθῇ ὑπὸ διασκευαστοῦ τινος. Τοῦτο ὅμως ἀποσιωπᾷ ὁ ποιητὴς χάριν τοῦ Διομήδους.

[1] Τὸ ἀσύνδετον ἐνταῦθα ἐπεξηγεῖ.

[2] Δίδων σημεῖον εἰς τοὺς Τρῶας. Τὸ ἑτεραλκὴς ἑρμηνεύεται ἐν Η 26. Ὅτι ὁ Διομήδης ἐτράπη εἰς φυγήν, παρατρέχει ὁ ποιητής.

[3] Αἰτιολογεῖ τὴν προηγουμένην πρότασιν. Τὸ δὲ πρόφρων σημαίνει σπουδαίως, ὡρισμένως.

[4] Ἀσθενῇ, ἀδύνατα· κεῖται δὲ ἡ λέξις ἰδίως ἐπὶ σαρκῶν, ὡς λέγεται ἡ χεὶρ τῆς Ἀφροδίτης ἐν Ε 337, ὅπου ἰδὲ καὶ τὸ ἔτυμον. Ἡρακλείδης ὁ Μιλήσιος ἐβάρυνε τὴν λέξιν, ὡς παραδίδει ὁ Σχολιαστής· «Ἡρακλείδης ὁ Μιλήσιος βαρύνει ὡς ἄσιτα· λόγῳ δὲ χρῆται τούτῳ, ὡς ὅτι βληχρόν ἐστι τὸ ἰσχυρόν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθαι ἄβληχρος ὡς ἄκακος». Τὸ δὲ οὐδενόσωρα εἶναι ἅπαξ εἰρημένον, σύνθετον δὲ ὂν ἐκ τοῦ οὐδενὸς καὶ ὥρα σημαίνει οὐδεμιᾶς φροντίδος, προσοχῆς ἄξια.

[5] Μετὰ δασείας ἁμὸν = ἡμέτερον. Ὁ δὲ Εὐστάθιος παρατηρεῖ· «ἤθελε μὲν εἰπεῖν ἐμόν, μὴ ἔχων δὲ ποιῆσαι οὕτω διὰ τὸ μέτρον ἔθηκε τὸ ἁμὸν ἀντὶ τοῦ ἡμέτερον, τρέψας τὸ ἰδικὸν εἰς τὸ κοινόν».

[6] Τὸ μνημοσύνη γενέσθω εἶναι ἀναγκαία περιγραφή· διότι τὸ μέ-

ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς
[Ἀργείους παρὰ νηυσίν, ἀτυζομένους[1] ὑπὸ καπνοῦ]. »
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
« Ξάνθε[2] τε καὶ σύ, Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε[3], 185
νῦν μοι τὴν κομιδὴν[4] ἀποτίνετον, ἣν μάλα πολλὴν[5]
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
ὑμῖν πὰρ[6] προτέροισι μελίφρονα πυρὸν ἔθηκεν

μνημαι, δὲν ἔχει παθητικόν. Ἔχει δὲ τὸν τύπον ἡ φράσις στρατηγικοῦ κελεύσματος.

[1] Ταραττομένους, πίπτοντας εἰς σύγχυσιν. Ὁ στίχος οὗτος δὲν ὑπάρχει ἐν τοῖς ἀρίστοις χειρογράφοις καὶ φαίνεται, ὅτι προσετέθη ὑπό τινος μεταγενεστέρου θέλοντος νὰ συμπληρώσῃ τὸ αὐτούς, ἀλλὰ ποιεῖ τὴν ἀπειλὴν τοῦ Ἕκτορος ἀσθενεστέραν.

[2] Τὸν στίχον ἠθέτει ὁ Ἀρίσταρχος, ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· « Ἀθετεῖται, ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου χρῆσιν παρεισάγει. Μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυικά, καὶ ἡ προσφώνησις εὐήθης». Οὕτως οἱ ἥρωες χρῶνται συνωρίδι καὶ γίνεται μὲν μνεία τεσσάρων ἀθλοφόρων ἵππων ἐν Λ 699, ἀλλὰ ἐνταῦθα πρόκειται περὶ ἀγῶνος. Τινὲς τῶν ἀρχαίων ἐπειράθησαν νὰ ἑρμηνεύσωσι λέγοντες, ὅτι ὁ Ἕκτωρ ἐχρήσατο τεθρίππῳ ἐπὶ καταπλήξει τῶν Ἀχαιῶν· ἄλλοι τὰ δύω κύρια ὀνόματα ἐθεώρουν ὡς ἐπίθετα, ὡς παραδίδει ὁ Εὐστάθιος· « Τῶν δὲ παλαιῶν οἱ μὲν τὰς τέσσαρας τῶν ἵππων κλητικὰς μίσγοντες εἰς δύο συναλείφουσι συζυγίας καὶ ξυνωρίδας ποιοῦσιν ἵππων, δύο νοοῦντες ὀνόματα ἐπίθετα, κείμενα δυσὶν ὀνόμασιν ἵππων κυρίοις, οἷον λόγου χάριν, Ξάνθε τε καὶ σὺ λάμπε, Πόδαργε καὶ αἴθων, τουτέστι ταχύτατε καὶ πυρρέ». Ἡμεῖς παρατηροῦμεν, ὅτι τοῦ στίχου ἐξαλειφομένου μένει ὁ λόγος ἄνευ προσφωνήσεως, ἥτις ἐνταῦθα, παρίσταται ὡς φύσει ἀναγκαία. Καὶ νῦν οἱ ἀγρόται, ὅταν ἐπιβάλλωσι δύσκολα ἔργα τοῖς ἵπποις, προσφωνοῦσιν αὐτοὺς κατ' ὄνομα. Ὅρα, ὅτι τὰ ὀνόματα τῶν ἵππων ἐλήφθησαν ἐκ τοῦ χρώματος αὐτῶν, ὡς καὶ νῦν ἔτι γίνεται.

[3] Καὶ ἀλλαχοῦ ὁ ποιητὴς ἀποδίδει τὸ ἐπίθετον δῖος ἵππῳ ἐν Ψ 346.

[4] Τὴν ἐπιμέλειαν πληρόνετε. Τοῦτο ἐπὶ ἀνθρώπων λέγεται θρέπτρ' ἀποδιδόναι.

[5] Ἐνταῦθα περιεμένομεν τὴν μετοχὴν παρέχουσα, ἥτις τολμηρῶς παρελείφθη.

[6] Ἡ πρόθεσις συναπτέα μετὰ

[οἶνόν [1] τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,]
ἢ ἐμοί [2], ὅσπερ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ' ἐφομαρτεῖτον [3] καὶ σπεύδετον, ὄφρα λάβωμεν
ἀσπίδα [4] Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν [5] χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,

τοῦ ῥήματος παρέθηκεν. Ὁ πυρὸς λέγεται μελίφρων, διότι εὐφραίνει, ἡδύνει τὴν καρδίαν. Οἱ ἵπποι οὐ μόνον κριθοφαγοῦσιν, ἀλλὰ καὶ ὀλύρας ἐρέπτονται καὶ δι' ἄλλων σπορίμων τρέφονται. Ἰδὲ καὶ Κ 569 καὶ δ 604.

[1] Ὁ στίχος ἠθετεῖτο ὑπὸ τῶν ἀρχαίων· διότι οἱ ἵπποι δὲν πίνουσιν οἶνον καὶ ἕνεκα τῆς φράσεως, ὅτε θυμὸς ἀνώγοι. Λέγεται ὅμως, ὅτι ἐν Ἀραβίᾳ καὶ Ἀφρικῇ οὐχὶ σπανίως δίδονται τοῖς ἵπποις οἶνος καὶ δὴ καὶ ὑπό τινων συνιστᾶται, ὅπως παρέχηται εἰς ἰσχνοὺς ἵππους. Θυμὸν δὲ ἐννοεῖ ὁ Εὐστάθιος τῆς Ἀνδρομάχης καὶ οὐχὶ τῶν ἵππων· «Οὔκουν ἀδύνατον τὴν καὶ Φίλανδρον καὶ φίλιππον Ἀνδρομάχην προσιτὸν ποιῆσαι τοῖς ἵπποις κατά τι μέτριον κρᾶμα τὸν οἶνον ἀφελέστερον καὶ οἷον εὐηθέστερον ἱπποκομοῦσαν, καὶ τοῦτο οὐκ ἀεί, ἀλλ' ὅτε αὐτῇ θυμὸς ἀνώγει». Οὐχὶ μικρὰν δυσκολίαν παρέχει καὶ ὁ σύνδεσμος τέ. Τινὲς ἐπεχείρησαν νὰ θεραπεύσωσι τὸ χωρίον θεωροῦντες τὸ σχῆμα ὑπέρβατόν, δηλ. ἔθηκεν ἢ ἐμοὶ— οἶνον τ' ἐγκεράσασα. Ἀλλὰ δὲν ἠδύνατο ἆρά γε ὁ ποιητὴς νὰ μεταθέσῃ τὸν στίχον; Εὐφυῶς ἐρρέθη ὑπὸ τοῦ Εὐσταθίου, ὅτι ὁ ὁμηρικὸς Ἕκτωρ οὐ μόνον τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τοῖς παισὶ τῶν γραμματικῶν παρέσχε πράγματα.

[2] Ἐκ τοῦ πυρὸν πρέπει νὰ ἐννοήσωμεν σῖτον, ἤτοι ἄρτον κατεσκευασμένον ἐκ πυροῦ.

[3] Κατὰ τὸν Παραφραστήν, ἐπακολουθεῖτε. Ὁ μὲν Ἀρίσταρχος ἔγραφεν, ὄφρα λάβωμεν, ἄλλοι δέ, αἴκε λάβωμεν.

[4] Περὶ τῆς πολυθρυλήτου ταύτης ἀσπίδος τοῦ Νέστορος οὐδὲν γινώσκομεν ἄλλοθεν. Οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ἀποροῦσι, πρὸς τί ἐτέθη τὸ νῦν. Ἂν δὲ ὁ ποιητὴς λέγῃ τὰ ὅπλα ἀντὶ τῶν ὁπλιτῶν, ἠδύνατο νὰ ἐξηγηθῇ· διότι ὄντως τὸ κλέος τοῦ Νέστορος ἐν τοῖς χρόνοις τοῦ Ἕκτορος φθάνει μέχρι τοῦ οὐρανοῦ. Τοὐλάχιστον ὁ Εὐστάθιος οὕτως ἐξηγεῖ· «Ὁπλίτας γὰρ θέλων εἰπεῖν λαλεῖ ὅπλα. Πάντως γὰρ οὐ διὰ τὴν ἀσπίδα τοῦ συνετωτάτου Νέστορος καὶ τὸν θώρακα τοῦ ἀνδρείου Διομήδους ἐπιβήσονται νηῶν αὐτῇ τῇ νυκτὶ καὶ φεύξονται Ἀχαιοί».

[5] Ὁ La Roche παρατηρεῖ, ὅτι ὁ γέρων Νέστωρ ὁλόχρυσον ἀ-

αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα [1], τὸν Ἥφαιστος κάμε τεύχων. 195
εἰ τούτω [2] κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ [3] νηῶν ἐπιβησέμεν ὠκειάων.»

Ὣς ἔφατ' εὐχόμενος, νεμέσησε [4] δὲ πότνια Ἥρη,
σείσατο [5] δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,
καί ῥα Ποσειδάωνα, μέγαν θεόν, ἀντίον ηὔδα· 200

«Ὤ πόποι, ἐννοσίγαι' εὐρυσθενές, οὐδέ νυ [6] σοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός.

σπίδα δὲν ἠδύνατο νὰ φέρῃ. Ἂν ὁ ποιητὴς ἐνόει ἐπικεχρυσωμένην, δὲν ἔπρεπε νὰ θέσῃ τὸ πᾶσαν. Κανόνες εἶναι τὰ ὄχανα, δι' ὧν ἔχονται καὶ ἀναβαστάζονται αἱ ἀσπίδες. Τούτους ἐξεῦρον οἱ Κᾶρες, ὡς λέγει ὁ Ἡρόδοτος I, 171 «καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήια ποιέεθαι, καὶ ὄχανα ἀσπίστι οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵ περ ἐώθεσαν ἀσπίσι χρέεσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὤμοισι περικείμενοι».

[1] Ἐξαρτᾶται ἐκ τοῦ λάβωμεν. Ἄλλοθεν δὲν γινώσκομεν περὶ τοῦ θώρακος τοῦ Διομήδους. Ὁ Σχολιαστὴς λέγει, ὅτι τοῦτον ἔλαβε παρὰ τοῦ Γλαύκου ἐν Ζ 235. Ἀλλὰ τότε διὰ τί ὁ Γλαῦκος ἔδωκεν οὕτω πολίτιμον θώρακα, ἐξ' οὗ ἐξηρτᾶτο ἡ τῶν Ἀχαιῶν φυγή;

[2] Τὴν ἀσπίδα καὶ τὸν θώρακα. Ἡ πρότασις αὕτη ὑποδηλοῖ, ὅτι ὁ πρὸ ὀλίγου ὑβρισθεὶς Διομήδης παρέχει ἔτι πολὺν τὸν φόβον τῷ Ἕκτορι.

[3] Τὴν αὐτὴν νύκτα. Καὶ ὅμως πρὸ ὀλίγου ὁ Ἕκτωρ ἠπείλει, ὅτι θέλει καύσει τὰς ναῦς τῶν Ἀχαιῶν.

[4] Ἡ τοῦ Ἕκτορος ἀλαζονεία διήγειρε τὴν ὀργὴν καὶ ἀγανάκτησιν τῆς Ἥρας.

[5] Ὁ Ζεὺς μόνον διὰ τοῦ νεύματος ποιεῖ, ἵνα κινῆται ὁ Ὄλυμπος ἐν Α 235.

[6] Λοιπὸν καὶ καταστρεφομένων βεβαίως τῶν Δαναῶν ἡ ψυχή σου δὲν θρηνεῖ. Τοῦτο λέγει ἡ θεὰ μετὰ πικρᾶς εἰρωνείας.

οἱ δέ [1] τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' [2] ἀνάγουσιν
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι βούλεο νίκην.
εἴπερ γάρ κ' ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί [3], 205
Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν' [4],
αὐτοῦ [5] κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἷος ἐν Ἴδῃ.»

Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων ἐνοσίχθων·
«Ἥρη ἀπτοεπές [6], ποῖον τὸν μῦθον ἔειπες.

[1] Ἀντιθετικῶς, οὗτοι ὅμως. Ἡ Ἑλίκη ἦτο πόλις τῆς Ἀχαΐας ὑπὸ σεισμοῦ ἀφανισθεῖσα. Ἐκ ταύτης ὁ Ποσειδῶν ὀνομάζεται Ἑλικώνιος ἄναξ ἐν Υ 404. Κατά τινας μὲν ὁ ποιητὴς ἐννοεῖ τὰς Αἰγὰς τῆς Ἀχαΐας, κατ' ἄλλους δὲ τὰς τῆς Εὐβοίας. Τὸ ὄνομα ἔχει τὴν αὐτὴν ῥίζαν μετὰ τοῦ αἴγες = κύματα, ὡς καὶ τὸ Αἴγινα, αἰγιαλὸς καὶ Αἰγαίων.

[2] Ἐπειδὴ ὁ ποιητὴς μεταχειρίζεται τὸ ἄγειν, εἰκάζεται, ὅτι τὰ δῶρα εἶναι ζῷα πρὸς θυσίαν, ὡς ἐν Α 390.

[3] Τοῖς μὲν Ἀχαιοῖς ἐβοήθουν ὁ Ποσειδῶν, ἡ Ἀθηνᾶ, ἡ Ἥρα, ὁ Ἑρμῆς καὶ ὁ Ἥφαιστος, Ο 213 καὶ Υ 33, τοῖς δὲ Τρωσὶν ὁ Ἄρης, ὁ Ἀπόλλων, ἡ Ἄρτεμις, ἡ Λητώ, ἡ Ἀφροδίτη καὶ ὁ Ξάνθος Υ 38—40.

[4] Τὸ τελικὸν φωνῆεν τοῦ στίχου ἐκθλίβεται πρὸ τοῦ φωνήεντος τοῦ ἑπομένου. Τοῦτο δ' ἁπαντᾷ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ξ 265 καὶ Ω 331. Ὁ Ἀρίσταρχος διήρει τὸ Ζῆν εἰς δύω καὶ τὸ μὲν Ζῆ ἔγραφεν ἐν τῷ πρώτῳ στίχῳ, τὸ δὲ ν ἐν τῷ ἑπομένῳ, La Roche, homerisch. Unters, σελ. 165. Τοῦτο ἔπραττε κατὰ τὸν κανόνα, ὃν ἀναγινώσκομεν παρὰ τῷ Εὐσταθίῳ· «Οἱ γραφεῖς τὸ τοῦ Ζηνὸς ν τὸ ἐναπομεῖναν ἀπὸ τῆς παθούσης τὴν ἔκθλιψιν αἰτιατικῆς τῷ δευτέρῳ στίχῳ προστιθέασι. Καὶ δοκεῖ μέν τισι καινὸν τοῦτο, ἔχεται δὲ κανόνος γραμματικοῦ, λέγοντος ὡς, εἰ μέσον δύο φωνηέντων εὑρεθῇ σύμφωνον ἐν ἁπλότητι ἢ συνθέσει ἢ καὶ συναλοιφῇ, τῷ δευτέρῳ, τουτέστι τῷ ἐπαγομένῳ φωνήεντι ἀκολουθεῖ». Ὁ G. Hermann προὔτεινε καὶ ὁ Bekker εἰσήγαγεν εἰς τὸ κείμενον Ζῆν, ὅπερ δὲν χηρίζεται ἐπὶ τῆς παραδόσεως. Τοῦτο ἤθελεν εἶναι αἰτιατική, ἧς ἡ ὀνομαστικὴ Ζής.

[5] Ἐκ παραλλήλου ἀντὶ τοῦ αὐτόθι, ὅπερ ἐξηγεῖται διὰ τοῦ ἐν Ἴδῃ, ὡς ἐν ε 208. Οὐχὶ δ' ἀφυῶς ὁ Dünlzer εἰκάζει, ὅτι τὸ αὐτοῦ δύναται νὰ γραφῇ α ὔ τ ω ς. Ἡ μετοχὴ καθήμενος αἰτιολογεῖ τὸ ἀκάχοιτο.

[6] Ἄλλοι μὲν ἐδάσυνον τὴν λέ-

οὐκ ἂν ἔγωγ' ἐθέλοιμι Διὶ Κρονίωνι [1] μάχεσθαι 210
ἡμέας τοὺς ἄλλους, ἐπειὴ πολὺ φέρτερός ἐστιν.»
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τῶν [2] δ', ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν,
πλῆθεν [3] ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων
εἰλομένων· εἵλει [4] δὲ θοῷ ἀτάλαντος Ἄρηϊ 215
Ἕκτωρ Πριαμίδης, ὅτε [5] οἱ Ζεὺς κῦδος ἔδωκεν.
καί νύ κ' ἐνέπρησεν πυρὶ κηλέῳ [6] νῆας εἴσας,
εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη

ξιν, ὁ δὲ Ἀρίσταρχος ἐψίλου, ὅπερ πιθανώτερον. Καὶ μετὰ δασείας μὲν σημαίνει, καθαπτομένη ἕπεσι, λέγουσα ἃ καθάπτεται, μετὰ ψιλῆς δὲ γραφομένη ἡ λέξις εἶναι σύνθετος ἔχ τινος ἄπτοος (πτόα) καὶ σημαίνει ἄφοβος. Τὸ ο ἐξέπεσεν, ὡς καὶ ἐν τοῖς ἀρτιεπής, ἀρτίφρων, ἀρτίπους. Προτιμῶμεν δὲ τὸ δεύτερον, διότι ἐνταῦθα πρόκειται περὶ φόβου, ὃν ἔχει ὁ Ποσειδῶν.

[1] Ὁ θεὸς τῆς θαλάσσης ἀρνεῖται νὰ ἀγωνισθῇ πρὸς τὸν Δία, διότι ἄλλοτε ἐτιμωρήθη ὑπ' αὐτοῦ ἀναγκασθεὶς νὰ θητεύσῃ παρὰ τῷ Λαομέδοντι. Ὅρα Φ 440.

[2] Δηλαδὴ τῶν Ἀχαιῶν, ὅπερ ὡρίζεται ἀκριβέστερον διὰ τοῦ ὁμῶς ... ἀσπιστάων. Εἶναι δὲ τὸ ἀντικείμενον τοῦ πλῆθεν. Ἡ πρόθεσις καὶ ἐνταῦθα σημαίνει ἔξω, ὡς καὶ ἐν Ξ 130 Π 688, λ 134 καὶ ἀλλαχοῦ. Οὕτως οἱ Ἀχαιοὶ εἶχον στενοχωρηθῇ ἐν τῷ χώρῳ τῷ περιεχομένῳ ἀπὸ τοῦ τείχους μέχρι τῆς τάφρου. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τῶν Ἀχαιῶν ὅσον ἀπὸ τοῦ τείχους ἡ τάφρος ὥριζεν, ἐπλήθυεν ὁμοίως ἵππων καὶ ἀνδρῶν συνελαυνομένων καὶ συνειργομένων ὑπὸ τοῦ Ἕκτορος».

[3] Ὑποκείμενον τοῦ ῥήματος εἶναι ἡ προηγουμένη ἀναφορικὴ πρότασις.

[4] Στενοχωρεῖ δὲ ὁ ἴσος μὲ τὸν ταχὺν Ἄρη Ἕκτωρ. Καταλλήλως μετεχειρίσθη τὸ ἐπίθετον θοός, διότι ἐν τῇ παρούσῃ περιστάσει ἀπῃτεῖτο ταχύτης.

[5] Ἐνταῦθα τὸ χρονικὸν μόριον ἔχει σημασίαν αἰτιολογικήν.

[6] Συνήθως τὸ ἐπίθετον ἐτυμολογεῖται παρὰ τὸ καίω καὶ κατὰ τὸ ἔτυμον τοῦτο σημαίνει καυστικὸν πῦρ, αἰθόμενον πῦρ. Ὁ Döderlein ὅμως παράγει ἐκ τοῦ κῆλον ὡς τὸ μήλειος ἐκ τοῦ μῆλον. Κατὰ τὴν παραγωγὴν ταύτην σημαίνει ἐκ ξηρῶν ξύλων.

αὐτῷ [1] ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.
βῆ δ' ἰέναι παρά τε [2] κλισίας καὶ νῆας Ἀχαιῶν,
πορφύρεον μέγα φᾶρος ἔχων [3] ἐν χειρὶ παχείῃ,
στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ [4] νηῒ μελαίνῃ,
ἥ ῥ [5] ἐν μεσσάτῳ ἔσκε, γεγωνέμεν [6] ἀμφοτέρωσε·
[ἠμὲν [7] ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα [8] νῆας ἐΐσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι [9] καὶ κάρτεϊ χειρῶν·]
ἦϋσεν δὲ διαπρύσιον [10] Δαναοῖσι γεγωνώς·

[1] Δὲν σημαίνει, ὅτι καὶ ὁ ἴδιος ἦτο πρόθυμος, ἀλλὰ εἰ μὴ ἡ Ἥρα ἔβαλεν εἰς τὸν νοῦν τοῦ Ἀγαμέμνονος, ἵνα ὁ ἴδιος ἐνεργήσας ταχέως παροτρύνῃ τοὺς Ἀχαιούς, δηλ. ἵνα ἐνεργήσῃ αὐτοπροσώπως. Διὰ τοῦτο καὶ ὁ Σχολιαστὴς παρατηρεῖ· «Δεῖ δὲ αὐτουργεῖν ἐν τοῖς δεινοῖς τοὺς ἄρχοντας».

[2] Ἀντὶ νὰ εἴπῃ παρὰ κλισίας τε καὶ νῆας. Ἀλλ' ἡ μετάθεσις τοῦ συνδέσμου ἁπαντᾷ καὶ ἀλλαχοῦ, ὡς Θουκυδίδ. I, 1 «ὅτι ἀκμάζοντές τε ἦσαν» ἀντὶ νὰ εἴπῃ, ὅτι τε ἀκμάζοντες.

[3] Τὸν ἐπενδύτην ὁ Ἀγαμέμνων ἐκράτει ἐν τῇ χειρί, ὅπως μὴ οὗτος διακωλύῃ τὸ ταχὺ βάδισμα. Ὁ Σχολιαστὴς ὅμως νομίζει, ὅτι τοῦτο μετεχειρίσθη ὡς σημεῖον, ὅπερ δέχονται τῶν νεωτέρων τινές· «φᾶρος δέ ἐστι πορφυροῦν ἱμάτιον, ὃ μεταχειρίζεται ὁ βασιλεὺς ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημαίνειν τοῖς Ἕλλησιν».

[4] Μεγακήτης εἶναι ἡ ἔχουσα μέγα κῆτος, μέγα σκάφος.

[5] Ἡ ἀναφορικὴ πρότασις ἐξηγεῖ τὴν ἐκλογὴν τοῦ Ἀγαμέμνονος. Τὸ μέσσατος εἶναι ὑπερθετικὸν τοῦ μέσος, ὡς τὸ νέατος, νειάτος τοῦ νέος. Ὅλως ἐν τῷ μέσῳ.

[6] Ὥστε νὰ φωνάξῃ καὶ νὰ γείνῃ ἀκουστός. Ἐνταῦθα ὑπῆρχε ναὸς τοῦ Διός, ὡς γίνεται δῆλον ἐν στίχ. 249, καὶ ἐγίνετο ἀγορὰ Λ 807.

[7] Οἱ στίχοι 224—226 οὔτε ἐν τοῖς ἀρίστοις τῶν χειρογράφων ὑπάρχουσιν, οὔτε ἐν τοῖς σχολίοις μνημονεύονται. Μόνον ὁ Εὐστάθιος ἑρμηνεύει τούτους.

[8] Κεῖται ἐπιρρηματικῶς.

[9] Πεποιθότες εἰς τὸ ἀνδρικὸν θάρρος καὶ εἰς τὴν δύναμιν τῶν χειρῶν. Οἱ ἐν τοῖς ἄκροις κείμενοι πάντως διέτρεχον μείζονα κίνδυνον.

[10] Ἐκ τῆς διὰ καὶ τῆς ῥίζης περ (πείρειν), ὁ μακρὰν ἐκτεινόμενος, ἀκουόμενος.

«Αἰδώς [1], Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί.
πῆ ἔβαν εὐχωλαί [2], ὅτε δὴ φάμεν εἶναι ἄριστοι,
ἅς [3], ὁπότ' ἐν Λήμνῳ, κενεαυχέες ἠγοράασθε,
ἔσθοντες [4] κρέα πολλὰ βοῶν ὀρθοκραιράων [5],
πίνοντες κρητῆρας ἐπιστεφέας [6] οἴνοιο,
Τρώων ἄνθ' [7] ἑκατόν τε διηκοσίων τε ἕκαστος
στήσεσθ' ἐν πολέμῳ· νῦν δ' οὐδ' ἑνὸς ἄξιοί [8] εἰμεν
["Εκτορος [9], ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ].

[1] Ἐννοεῖται τὸ ἔστω, ἐντραπῆτε.

[2] Αἱ καυχήσεις, αἱ ἀλαζονικαὶ φράσεις, αἵτινες ἐπεξηγοῦνται διὰ τοῦ ὅτε. Λέγει δὲ ὁ Ἀγεμέμνων φάμεν, ὅπως μετριάσῃ τὴν μομφήν. Ὁ Εὐστάθιος παρατηρεῖ· «Εἶεν δ' ἂν οἱ τοιοῦτοι καὶ προδοσίχομποι κατὰ τοὺς παλαιούς, ὅ ἐστιν εἰς μάτην ὑποσχετικοί, ὡς τὰς ἑαυτῶν ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενοι, ἀλλὰ προδιδόντες».

[3] Τινὲς τῶν ἀρχαίων καὶ νεωτέρων εἰκάζουσιν, ὅτι τὸ ῥῆμα, εἰς ὃ ἀποδίδοται τὸ ἀντικείμενον, παρελείφθη. Πιθανώτερον ὅμως ὑπὸ ἄλλων λέγεται, ὅτι παρελείφθη τὸ ἦμεν. Ἐν Λήμνῳ οἱ Ἀχαιοὶ ἔτυχον ξενίας· ὅρα καὶ Η 467. Τὸ κενεαυχέες ὁ Παραφραστὴς ἑρμηνεύει, κενὰ καὶ μάταια καυχώμενοι. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Δείκνυσι δὲ ὡς αἱ παρὰ κύλικας ὑποσχέσεις ἀβέβαιοι. Πρῶτος δὲ Ὅμηρος ἔγραψε στράτευμα μεθύον καὶ μεγαλορρημονοῦν, ἐν δὲ ἀνάγκαις χρειώδεσι σωφρονοῦν καὶ ἀτυχοῦν».

[4] Ὁ ποιητὴς διὰ τοῦ ἀσυνδέτου τῶν μετοχῶν καὶ διὰ τῆς περιγραφῆς τῆς ἐν τῷ συμποσίῳ μεγαλορρημοσύνης τῶν Ἀχαιῶν διακωμῳδεῖ τὴν παροῦσαν ταπείνωσιν αὐτῶν.

[5] Ὀρθόκραιρος ἐκ τοῦ ὀρθὸς καὶ κέρας. Εἰκάζω, ὅτι ὁ ποιητὴς διὰ τοῦ ἐπιθέτου τούτου θέλει νὰ ὑποδηλώσῃ τὸ ἀκμαῖον τῶν ζῴων, δηλ. ἔτρωγον πολλὰ καὶ παχέα κρέατα, ἀλλὰ διὰ τὰ τοιαῦτα μόνον ἦσαν ἱκανοί.

[6] Πλήρεις οἴνου, ὡς καὶ τὸ ἐπιστέφειν ἔχει τοιαύτην σημασίαν ἐν Α 470.

[7] = Ἄντα· διότι ἡ ἀντὶ δὲν ἀναστρέφεται. Οἱ μεγαλορρημονοῦντες ἔλεγον, ὅτι θέλουσι πολεμήσει ἐναντίον ἑκατὸν καὶ διακοσίων Τρώων.

[8] Ἐν τῇ κυρίᾳ σημασίᾳ· τώρα ὅμως δὲν ζυγίζομεν οὐδὲ ὡς εἷς.

[9] Ὁ στίχος ἠθετεῖτο ὑπὸ τῶν ἀρχαίων, διότι ἐξασθενεῖ τὸν ὀνειδισμόν. Φαίνεται ὅμως, ὅτι προσ-

Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων [1] βασιλήων
τῇδ' ἄτῃ ἄασας [2] καί μιν μέγα κῦδος ἀπηύρας ;
οὐ [3] μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηΐ πολυκλήϊδι παρελθέμεν [4] ἐνθάδε ἔρρων·
ἀλλ' ἐπὶ πᾶσι [5] βοῶν δημὸν καὶ μηρί' ἔκηα,
ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλά, Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ [6].
αὐτοὺς [7] δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι,
μηδ' οὕτω [8] Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς».
Ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα [9],
νεῦσε [10] δέ οἱ λαὸν σῶν ἔμμεναι οὐδ' ἀπολέσθαι.
αὐτίκα δ' αἰετὸν ἦκε, τελειότατον [11] πετεηνῶν,

ετέθη, ὅπως γείνῃ ὁμαλὴ ἡ μετάβασις ἐκ τοῦ κινδύνου εἰς τὴν εὐχήν.

[1] Ὑπερμενής, ὑπερδύναμος, πανίσχυρος.

[2] Συνήθως τὸ ἄτῃ ἄασας ἀναγινώσκεται τετρασυλλάβως· ὁ La Roche ὅμως κατὰ τὰ ἄριστα χειρόγραφα γράφει ἄσας. Ἄρά γε ἐνέβαλες κανένα τῶν πανισχύρων βασιλέων εἰς τοιαύτην δυστυχίαν ὡς ἐμέ... ; Ἡ δυστυχία κεῖται ἐν τῇ ἀπάτῃ, διότι ἐνόμιζεν, ὅτι θὰ ἐκπορθήσῃ τὴν Τροίαν.

[3] Τὸ ἀσύνδετον κεῖται πρὸς ἀντίθεσιν. τὸ δέ φημι ἐξηγεῖται νομίζω, φρονῶ.

[4] Κυρίως σημαίνει παραπλέειν ἀλλὰ περιπίπτει εἰς τὴν σημασίαν τοῦ ἀμελεῖν. Δὲν λέγει ἰὼν ἢ χιών, ἀλλ' ἔρρων· πρὸς δυστυχίαν μου πορευόμενος, πρὸς βλάβην μου ἐρχόμενος.

[5] Δηλαδὴ βωμοῖς.

[6] Ὅρα Α 41.

[7] Ἀντὶ νὰ εἴπῃ ἡμέας. Τοὐλάχιστον ἐπίτρεψον, ἵνα οἱ ἴδιοι ὑπεκφύγωμεν τὸν θάνατον. Ἐν ᾧ πρότερον οἱ Ἀχαιοὶ ηὔχοντο ὑπὲρ ἐκπορθήσεως τῆς Τροίας, νῦν διὰ τοῦ Ἀγαμέμνονος εὔχονται, ἵνα οἱ ἴδιοι σωθῶσιν.

[8] Ὡς μέχρι τοῦδε. Ἡ δὲ δοτικὴ Τρώεσσι δηλοῖ τὸ ποιητικὸν αἴτιον, ὡς ἐν Γ 301 «ἄλοχοι δ' ἄλλοισι δαμεῖεν».

[9] Οἱ ὁμηρικοὶ ἥρωες δὲν θεωροῦσιν αἰσχρόν, ὅτι δακρύουσιν, ὡς Α 349, Π 3, Ρ 696 καὶ ἀλλαχοῦ.

[10] Ἐνταῦθα κεῖται ἀντὶ τοῦ κατένευσε.

[11] Τὸν ἀετὸν λέγει τελειότατον τῶν πτηνῶν, διότι δίδει τὰ ἀσφαλέστατα σημεῖα. Οἱ ἀρχαῖοι ἐμυθολόγουν, ὅτι ὁ ἀετὸς ἐγεννήθη

νεβρὸν [1] ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέϊ κάββαλε νεβρόν,
ἔνθα πανομφαίῳ [2] Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
οἱ δ' ὡς οὖν εἴδονθ' ὅτ' ἄρ' [3] ἐκ Διὸς ἦλυθεν ὄρνις,
μᾶλλον [4] ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
Ἔνθ' οὔτις πρότερος Δαναῶν [5], πολλῶν περ ἐόντων,
εὔξατο [6] Τυδείδαο πάρος σχέμεν ὠκέας ἵππους
τάφρου τ' ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος [7] Τρώων ἕλεν ἄνδρα κορυστήν,
Φραδμονίδην Ἀγέλαον· ὁ μὲν φύγαδ' ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Τὸν δὲ μετ' Ἀτρεΐδαι, Ἀγαμέμνων καὶ Μενέλαος,
τοῖσι δ' ἐπ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,

κατὰ τὴν γέννησιν τοῦ Διός. Διὰ τοῦτο κατὰ τὴν διανομὴν τῶν πτηνῶν ὁ Ζεὺς προετίμησε τὸν ἀετόν.

[1] Ὁ Σχολιαστὴς ἑρμηνεύει τὸ σημεῖον οὑτωσί· «Ὁ νεβρὸς δὲ τοὺς κατεπτηχότας Ἕλληνας δηλοῖ, ὁ κοινὸς βωμὸς τὴν κοινὴν ἅπασιν ἀπὸ τοῦ Διὸς σωτηρίαν· ἄδειαν γὰρ τοῖς καταφεύγουσιν ὁ βωμὸς πορίζεται».

[2] Ὀμφὴ λέγεται ἡ θεία φωνή. Πανομφαῖος λοιπὸν εἶναι ὁ πέμπων πᾶσαν ὁμφήν, ἢ μάντευμα.

[3] Ὡς ἦτο ἑπόμενον ἐκ τῶν ἡγουμένων περιστάσεων, δηλ. ὅτι εὐθὺς μετὰ τὴν εὐχὴν ἦλθεν ὁ ἀετός.

[4] Δηλοῖ ἁπλῆν ἐπίτασιν, πάρα πολύ, ὡς ε 284.

[5] Εἶναι διαιρετικὴ εἰς τὸ οὔτις καὶ οὐχὶ δεύτερος ὅρος συγκρίσεως τοῦ πρότερος.

[6] Ἠδύνατο νὰ καυχηθῇ. Κατὰ τὸν La Roche τὸ πάρος πρέπει νὰ συνάψωμεν μετὰ τοῦ σχέμεν καὶ οὐχὶ μετὰ τοῦ Τυδείδαο, ὅπερ ἀνήκει εἰς τὸ πρότερος. Κατὰ τοῦτο σημαίνει ἔμπροσθεν, ὡς ἑρμηνεύει ὁ Παραφραστής. Κατὰ τὸν Ameis ὅμως διὰ τοῦ πάρος ἐπαναλαμβάνεται τὸ πρότερος ἐντόνως. Ὅρα, ὅτι ὁ τελευταῖον ὑποχωρήσας πρῶτος ὑποστρέφει.

[7] Ἐνταῦθα περιεμένομεν τὴν φράσιν, ἀλλὰ πολὺ πρῶτος ἔσχε· ἀντὶ ὅμως ταύτης ὁ ποιητὴς λέγει τὴν πρώτην πρᾶξιν τοῦ ἥρωος.

τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ,
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός. 265
Τεῦκρος δ' εἴνατος [1] ἦλθε, παλίντονα τόξα τιταίνων,
στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
ἔνθ' Αἴας μὲν ὑπεξέφερεν [2] σάκος· αὐτὰρ ὅ γ' ἥρως
παπτήνας [3], ἐπεὶ ἄρ τιν' ὀϊστεύσας ἐν ὁμίλῳ
βεβλήκοι [4], ὁ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσεν [5], 270
αὐτὰρ ὁ αὖτις [6] ἰών, παῖς ὡς ἀπὸ μητέρα, δύσκεν
εἰς Αἴανθ' [7]. ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.
Ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων [8];

[1] Ἄξιον σημειώσεως, ὅτι ὁ πρὸ ὀλίγου δειλῶς ἐκ τῆς μάχης φυγὼν ἐνταῦθα δὲν μνημονεύεται. Περὶ τοῦ παλίντονα ὑπάρχει διαφωνία παρὰ τοῖς ἑρμηνευταῖς· διότι τινὲς νομίζουσιν, ὅτι σημαίνει τόξα ἕτοιμα εἰς ἐκτόξευσιν, ἀλλὰ πιθανώτερον σημαίνει ἐλαστικά, εὔκαμπτα.

[2] Κατὰ τὸν Σχολιαστήν· «Ἀντὶ τοῦ ἔμπροσθεν αὐτοῦ ἔφερεν». Τοῦτο ὑποδηλοῖ καὶ τὸ φιλάδελφον τοῦ Αἴαντος καὶ τὸ μέγεθος τῆς ἀσπίδος, περὶ ἧς ὅρα ἐν Η 219.

[3] Παρατηρήσας πέριξ. Περιεμένομεν ῥῆμά τι, εἰς ὃ ἤθελεν ἀποδοθῇ ἡ μετοχή. Ὁ Εὐστάθιος παρατηρήσας τοῦτο ἐπειράθη νὰ θεραπεύσῃ τὸ χωρίον· «Τὸ δέ, αὐτὰρ ὅ γ' ἥρως παπτήνας καὶ ἑξῆς, δόξῃ ἂν σόλοικον εἶναι, εἰ μή τις ἀναστρέψας τὴν φράσιν καταστήσει τὴν σύνταξιν οὕτως· ἐπειδὰν δὲ ὁ ἥρως παπτήνας βάλοι τινὰ ὀϊστεύσας ἐν ὁμίλῳ, ὁ μὲν βληθεὶς ἔκειτο πεσών, Τεῦκρος δὲ ἀναχωρήσας ἐγίνετο ὑπὸ τῷ σάκει τοῦ Αἴαντος. Ἐστρύφνωται οὖν ἡ φράσις».

[4] Βεβλήκοι ἔγραφεν ὁ Ἀρίσταρχος καὶ οὐχὶ β ε β λ ή κ ε ι ἢ β ε β λ ή κ ε ι ν. Σημαίνει δὲ τὸ συνήθως γινόμενον ἐν τῷ παρελθόντι.

[5] Πάντα τὰ χειρόγραφα ἔχουσιν ὄ λ ε σ σ ε ν, ἡ δὲ γραφὴ ὄ λ ε σ κ ε ν εἰσήχθη ὑπὸ τοῦ Bekker κατ' εἰκασίαν.

[6] Ὁ Τεῦκρος, ὅπως τοξεύῃ, ἐξερχόμενος τοῦ σάκους προύχώρει.

[7] Εἰς τὴν περιοχήν, εἰς τὸν τόπον, ὅπου ἦτο ὁ Αἴας μετὰ τοῦ σάκους.

[8] Ἡ ἐρώτησις ἀποτείνεται εἰς τὴν Μοῦσαν, ἥτις μόνον ἐνταῦθα, ἐν Ε 703 καὶ Η 692 δὲν μνημο-

Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ' Ὀφελέστην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα [1] καὶ Μελάνιππον.
[πάντας [2] ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.]
τὸν δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας [3].
στῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
«Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε [4], κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φόως [5] Δαναοῖσι γένηαι
πατρί τε σῷ Τελαμῶνι [6], ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα
καί σε νόθον [7] περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ·

νεύεται, ὡς γίνεται ἐν Β 484.

[1] Τὰ ὀνόματα ταῦτα ἔχουσι καὶ ἄλλοι πολεμισταί, π. χ. Μελάνιπποι ὀνομάζονται δύω ἄλλοι Τρῶες Ο 547, Π 695 καὶ εἷς Ἀχαιὸς Τ 240. Τὸν Ἀμοπάονα τινὲς τῶν ἀρχαίων ἔγραφον ἄμ' ὀπάονα, ἀλλ' οἱ οὕτω γράφοντες ἀπεδοκιμάζοντο.

[2] Ὁ στίχος οὗτος, ὅστις ἀπαντᾷ καὶ ἐν Μ 194 καὶ Π 418, λείπει ἐν πολλοῖς καλοῖς χειρογράφοις.

[3] Διὰ τῆς λέξεως ταύτης ἐξαίρει τὴν πληθὺν τῶν φονευθέντων.

[4] Ἐν τῷ ἡρωϊκῷ αἰῶνι οἱ ἄνθρωποι ἐθεώρουν κολακευτικόν, ἄν τις ὠνόμαζεν αὐτοὺς διὰ τοῦ ὀνόματος τοῦ πατρὸς Κ 68· «πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον, πάντας κυδαίνων».

[5] Κατὰ τὸν Εὐστάθιον ἐνταῦθα σημαίνει νίκην.

[6] Ἐκ τῆς λέξεως φῶς πρέπει νὰ ἐννοήσωμεν κῦδος ἢ παραπλησίαν.

[7] Ὁ μὲν τολμηρὸς Ζηνόδοτος ὅλως ἐξήλειφε τὸν στίχον, ὁ δὲ Ἀριστοφάνης ἠθέτει τοῦτον· διότι ἡ γενεαλογία ἐφάνη ἄκαιρος, ἄτε μὴ ἔχουσα προτροπήν, ἀλλὰ τουναντίον ὀνειδισμὸν καὶ ἀποτροπήν. Ὁ Σχολιαστὴς ὅμως παρατηρεῖ, ὅτι τὸ νόθον εἶναι δὲν ἐθεωρεῖτο αἰσχρόν, διότι ἦτο σύνηθες. Σημειωτέον, ὅτι ὁ Τεῦκρος ἐν Μ 371 λέγεται κασίγνητος καὶ ὄπατρος τοῦ Αἴαντος. Ὁ Τεῦκρος ἦτο υἱὸς τοῦ Τελαμῶνος καὶ τῆς Ἡσιόνης, θυγατρὸς τοῦ Λαομέδοντος καὶ ἀδελφῆς τοῦ Πριάμου. Ταύτην αἰχμαλωτίσας ὁ Ἡρακλῆς ἔδωκε τῷ Τελαμῶνι γέρας, διότι συνεστρατεύσατο αὐτῷ. Διὰ τοῦτο ὁ υἱὸς τῆς Ἡσιόνης ὠνομάσθη Τεῦκρος, δηλ. κατ' ἀναβιβασμὸν τοῦ τόνου ἐκ τοῦ Τευκρός. Τευκροὶ δ' ἐλέγοντο οἱ Τρῶες.

τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον [1]. 285
σοὶ δ' ἐγὼ ἐξερέω ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώῃ Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη [2]
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
πρώτῳ τοι [3] μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν 290
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν [4] λέχος εἰσαναβαίνοι».

Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
«Ἀτρείδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν [5]
ὀτρύνεις; οὐ [6] μέν τοι, ὅση δύναμίς γε πάρεστιν,
παύομαι, ἀλλ' ἐξ οὗ [7] προτὶ Ἴλιον ὡσάμεθ' αὐτούς, 295

Κατὰ ταῦτα ὁ Τεῦκρος καὶ ὁ Ἕκτωρ ἦσαν ἐξάδελφοι καὶ ὅμως μάχονται κατ' ἀλλήλων μανιωδῶς. Τὸ δὲ κομίσσατο σημαίνει, ἠξίωσεν ἐπιμελείας, ἐπεριποιήθη, ὡς ἐν Α 594.

[1] Φέρε εἰς δόξαν, ὡς κακῶν ἐπιβασκέμεν ἐν Β 234, σαοφροσύνης ἐπέβησαν ψ 13, ἀναιδείας ἐπέβησαν χ 424.

[2] Κατὰ τὸν Düntzer ὁ στίχος ἠνάγκασε τὸν ποιητὴν νὰ παραλείψῃ τὸν Ἀπόλλωνα, ὅστις συνήθως τίθεται μετὰ τῶν δύω εἰρημένων θεῶν.

[3] Οὐχὶ σοί, διότι ἡ ἔμφασις κεῖται ἐπὶ τῆς λέξεως πρώτῳ. Πρεσβήιον σημαίνει ὅτι καὶ τὸ γέρας, ὁ δὲ Εὐστάθιος ἑρμηνεύει· «δῶρον δηλοῖ τίμιον, ἤγουν τοῖς πρεσβυτέροις καὶ ἐντίμοις διδόμενον, ὅπερ ἀριστεῖον οἱ μεθ' Ὁμηρόν φασιν».

[4] = Ταὐτό. Τὸ τοι κατά τινας μὲν συντάσσεται πρὸς τὸ ὁμόν, κατ' ἄλλους ὅμως μετὰ τοῦ εἰσαναβαίνοι. Κατὰ τὸν Εὐστάθιον· «Τὸ γὰρ λέχος εἰσαναβαίνειν τὸ εἰς τὴν αὐτὴν κοίτην ἰέναι δηλοῖ σαφῶς καὶ ἄλοχον εἶναι, ἐπεί περ τὸ ὁμὸν λέχος εἰ συντεθῇ, ποιεῖ τὸν ὁμόλεκτρον, τοῦτο δέ ἐστιν ἄλοχος».

[5] Ὁ Τεῦκρος ἀπορεῖ, ὅτι ὁ στρατηγὸς παροτρύνει τὸν ἐξ ἰδίας προθυμίας ἐνεργοῦντα.

[6] Ἐνταῦθα ἠδύνατο ὁ ποιητὴς νὰ θέσῃ ἀντιθετικὸν σύνδεσμον, ἀλλὰ τὸ ἀσύνδετον ἔχει μείζονα δύναμιν.

[7] Ἐννοεῖ τὸν χρόνον, ὅστις ἄρχεται ἐκ τοῦ στίχου 252. Ἡ δὲ φράσις προτὶ Ἴλιον δηλοῖ μόνον διεύθυνσιν πρὸς τὴν πόλιν,

ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος [1] ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας [2] ὀϊστούς,
πάντες δ' ἐν χροΐ πῆχθεν ἀρηϊθόων [3] αἰζηῶν·
τοῦτον [4] δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα».
Ἦ ῥα καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν [5]
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο [6] θυμός·
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὁ δ' ἀμύμονα Γοργυθίωνα [7],
υἱὸν ἐὺν Πριάμοιο, κατὰ στῆθος βάλεν ἰῷ·
τὸν ῥ' ἐξ Αἰσύμηθεν [8] ὀπυιομένη τέκε μήτηρ,
καλὴ Καστιάνειρα [9], δέμας εἰκυῖα θεῇσιν.
μήκων [10] δ' ὡς ἑτέρωσε κάρη βάλεν, ἤτ' ἐνὶ κήπῳ

διότι οἱ Ἀχαιοὶ δὲν εἶχον προχωρήσει πολὺ ἀπὸ τῆς τάφρου.

[1] Ἐνεδρεύσας, ὡς ἐν Δ 107.

[2] Ἐκ τῆς ῥίζης τ α ν (τείνω) καὶ γλωχίν, ἥτις ὑπὸ τοῦ Ἡσυχίου ἑρμηνεύεται· «Κυρίως γλωχῖνες αἱ τῶν ἀκίδων ἐξοχαὶ καὶ αἱ τοῦ ζυγοῦ γωνίαι». Λοιπὸν σημαίνει βέλη ἔχοντα τεταμένας ἢ μακρὰς ἀκίδας. Ὡς τοιαῦτα δὲ ἦσαν κινδυνωδέστατα.

[3] Ἀρηίθους λέγεται ὁ ταχὺς ὡς ὁ Ἄρης.

[4] Λέγει ταῦτα μετὰ περιφρονήσεως δεικνύων τὸν Ἕκτορα, ὃν λέγει κύνα λυσσητῆρα διὰ τὴν πολεμικὴν μανίαν, ὡς ἐν I 239 λέγει «κρατερὴ δὲ ἑ λύσσα δέδυκεν».

[5] Ἔπεμψεν, ἀφῆκεν.

[6] Ἡ ψυχή του ἐπεθύμει νὰ τὸν κτυπήσῃ.

[7] Ὁ Γοργυθίων μόνον ἐνταῦθα μνημονεύεται. Ἡ διήγησις ἔχει τι ἀστεῖον, ὅτι ὁ νόθος τὸν νόθον φονεύει.

[8] Ἐξ Αἰσύμης, πόλεως Θρᾳκικῆς· ὁ Ἀρίσταρχος ὅμως, ὁ Ζηνόδοτος καὶ ὁ Ἀριστοφάνης ἔγραφον Αἰσύμνηθεν καὶ ἄλλοι α ἰ σ ύ μ ν η θ ε ν ἑρμηνεύοντες ἐ κ β α σ ι λ ι κ ο ῦ γ έ ν ο υ ς. Τὸ ὀπυίω (ἀττ. ὀπύω) ὁ Lobeck παράγει ἐκ τῆς λέξεως ὀπή· σημαίνει δὲ ὑ π α ν δ ρ ε υ ο μ έ ν η.

[9] Παρὰ τῷ Ἀθηναίῳ XIV 632 ὁ στίχος φέρεται οὑτωσὶ «καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα» καὶ σημειοῦται ὡς μ ύ ο υ ρ ο ς ἅτε τὴν χωλότητα ἔχων ἐπὶ τῆς ἐκβολῆς. Ὁ Düntzer ὑποτίθησιν ὄνομά τι κάστις (κόσμος, τιμή), ἐξ οὗ Ἐπικάστη, Καστιάνειρα, Κασσιέπεια, Κάσσανδρος, Κασσάνδρη. Ὁ δὲ Koch τὸ Καστιάνειρα θεωρεῖ ἀρχαιότερον τύπον τοῦ Κασσάνδρα.

[10] Παπαροῦνα, papaver. Ἡ λέ-

καρπῷ βριθομένη [1] νοτίῃσί τε εἰαρινῇσιν·
ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι [2] βαρυνθέν·
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἵαλλεν
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός.
ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτε· παρέσφηλεν [3] γὰρ Ἀπόλλων·
ἀλλ' Ἀρχεπτόλεμον, θρασὺν Ἕκτορος ἡνιοχῆα,
ἱέμενον πολεμόνδε βάλε στῆθος παρὰ μαζόν·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἠνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου,
Κεβριόνην [4] δ' ἐκέλευσεν ἐδελφεὸν ἐγγὺς ἐόντα

ξις εἶναι συγγενὴς τοῦ μῆκος καὶ μακρός. Ὁ Εὐστάθιος εἰκάζει, ὅτι ὁ φονευθεὶς δὲν ἦτο ῥωμαλέος· «Εἰ δὲ καὶ ἡρωϊκῆς εἶχέ τι γενναιότητος ὁ ἀνήρ, αἰγείρῳ ἂν αὐτὸν ἢ ἑτέρῳ τινὶ φυτῷ μεγαλοφυεῖ παρείκασεν ὁ ποιητὴς ἐξ ὧν τοῖς ἥρωσι τεκταίνεται τὰς παραβολάς». Ὡς ἡ παπαροῦνα ἀφῆκε τὴν κεφαλὴν νὰ κλίνῃ εἰς ἄλλο μέρος (δηλ. εἰς διάφορον τοῦ ὑπάρχοντος).

[1] Τινὲς τῶν ἀρχαίων ἐνόμιζον, ὅτι ἡ μετοχὴ κεῖται ἀντὶ ῥήματος λέγοντες τὸ σχῆμα ἴδιον τῶν Αἰολέων καὶ ἄλλοι ἐνόουν ἔξωθεν τὸ ἔστι. Ὀρθότερον ὁ Ameis ἐκ τοῦ προηγουμένου ῥήματος συμπληροῖ διὰ τοῦ βάλλει. Τὸ νοτίη εἶναι κυρίως ἐπίθετον περιπεσὸν εἰς σημασίαν οὐσιαστικοῦ, νοτιά. Ὁ Παραφραστὴς ἑρμηνεύει, ψεκάσι, δρόσοις.

[2] Κατὰ τὸν Döderlein ὡς ἐκ τοῦ ψαλάξαι ἐγένετο ψήληξ (πετεινός), οὕτως ἐκ τοῦ παλάξαι, παλακτός, πήληξ. Κατὰ τὸ ἔτυμον τοῦτο σημαίνει τὴν χληρωτίδα. Ἀλλ' ὁ κύριος σκοπὸς τῆς περικεφαλαίας δὲν ἦτο κλήρωσις· τοῦτο συνέβαινε κατὰ τύχην διὰ τὸ πρόχειρον. Κατ' ἄλλους ὅμως πιθανώτερον εἶναι συγγενὴς τοῦ πέλις (λεκάνη), πέλιξ, πίληξ, πῖλος.

[3] Ἔκαμε νὰ ἀποτύχῃ. Τοῦτο ἔπραξεν ὁ θεὸς καὶ διὰ τὴν ἀλαζονείαν τοῦ τοξότου (διότι καὶ ὁ Ἀπόλλων τοξότης ὢν ἴσως ἐφθόνησε) καὶ διότι ἦτο προστάτης τοῦ Ἕκτορας Η 272, Υ 345 καὶ ἀλλαχοῦ.

[4] Ὁ Κεβριόνης ἦτο νόθος υἱὸς τοῦ Πριάμου ὑπὸ τοῦ Πατρόκλου φονευθεὶς ἐν Π 737.

ἵππων ἠνί' ἐλεῖν· ὁ δ' ἄρ' [1] οὐκ ἀπίθησεν ἀκούσας.
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος [2]
σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον [3] λάβε χειρί,
βῆ δ' ἰθὺς Τεύκρου, βαλέειν δέ ἑ θυμὸς ἀνώγει.
ἤτοι ὁ μὲν φαρέτρης [4] ἐξείλετο πικρὸν ὀϊστόν,
θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαίολος Ἕκτωρ
εὐρύοντα [5] παρ' ὦμον, ὅθι κληῖς ἀποέργει
αὐχένα τε στῆθός τε [6], μάλιστα δὲ καίριόν ἐστιν,
τῇ ῥ' [7] ἐπὶ οἱ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
ῥῆξε δέ οἱ νευρήν [8]· νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ,

[1] Ὡς ἤτο ἑπόμενον· διότι ὁ Ἕκτωρ ἐπὶ τοῦ πεδίου τῆς μάχης ἐστρατήγει τοῦ Πριάμου μὴ δυναμένου.

[2] Ὁ Εὐστάθιος παρατηρεῖ· «Παμφαίνει δὲ ὡς εἰκὸς χαλκῷ καί τισι τοιούτοις».

[3] Ὁ Döderlein ὑποτίθησι πρωτόθετόν τι ῥῆμα χ έ ρ ε ι ν (πιάνειν), ἐξ οὗ παράγει τὸ χέρμα, χ ε ρ μ ά ζ ε ι ν, χερμάς, χερμάδιον, ὅπερ σημαίνει λίθον χειροπληθῆ, λίθον δυνάμενον νὰ περιληφθῇ ἐν τῇ χειρί. Κατὰ ταύτην τὴν ἔννοιαν λέγεται καὶ χ ε ρ ά ς.

[4] Κατὰ τὸν La Roche μόνον ἐνταῦθα ἡ λέξις κεῖται ὡς ἀνάπαιστος· διότι ἀλλαχοῦ ἡ μέση συλλαβὴ εἶναι πάντοτε μακρά.

[5] Ἐννοεῖται τὸ ἀντικείμενον ν ε υ ρ ή ν, δηλ. ἔλκοντα τὴν νευράν, ὅπως τοξεύσῃ.

[6] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Περὶ τὸν σύνδεσμον τῆς ὠμοπλάτης ἤτοι τὴν ἀκρωμίαν».

[7] Διὰ τοῦ προσδιορισμοῦ τούτου γίνεται ἐπανάληψις τοῦ παρ' ὦμον, ὅπερ προδιορίζει τὸ β ά λ ε ν καὶ οὐχὶ τὸ αὐερύοντα, ὡς διισχυρίζετο ἀρχαῖός τις Νεοτέλης καλούμενος. Οὗτος ἔγραψεν ὅλον βιβλίον περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας, ὡς παραδίδει ὁ Σχολιαστής· «Ἀμφότερα γὰρ συμβέβηκε πρὸς τὸν ὦμον, καὶ τὸ βληθῆναι αὐτὸν καὶ τὸ ἐρύσαι. Ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν, τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου». Τὸ ἐ π ὶ οἱ δηλοῖ τῷ Ἕκτορι.

[8] Δὲν ἐννοεῖ τὸ νεῦρον τοῦ ὤμου, ἀλλὰ τοῦ τόξου· διότι ἂν συνέβαινεν ἐκεῖνο, δὲν ἦτο δυνατὸν ὁ Τεῦκρος νὰ μάχηται τὴν ἑπομένην ἡμέραν M 336, 350, 371 καὶ 387. Τοῦτο γίνεται δῆλον καὶ ἐκ τοῦ O 469 «νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα πρώιον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς».

στῆ δὲ γνὺξ [1] ἐριπών, τόξον δέ οἱ ἔκπεσε χειρός.
Αἴας δ' οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψεν [2].
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεύς [3], Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
Ἄψ δ' αὖτις Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν· 335
οἱ δ' ἰθὺς [4] τάφρου βαθείης ὦσαν Ἀχαιούς·
Ἕκτωρ δ' ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων [5].
ὡς δ' ὅτε τίς τε [6] κύων συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται [7] κατόπισθε, ποσὶν ταχέεσσι διώκων [8],

[1] Πεσὼν δὲ ἐστάθη γονατιστά.

[2] Τὸ ῥῆμα συνέταξε πρὸς δοτικὴν τοῦ προσώπου καὶ αἰτιατικὴν τοῦ πράγματος, ὡς ἐν Ε 315.

[3] Ὁ Μηκιστεὺς ἐφονεύθη ὑπὸ τοῦ Πολυδάμαντος ἐν Ο 339.

[4] Κατ' εὐθεῖαν εἰς τὴν τάφρον.

[5] Περὶ τὸ ἔτυμον τῆς λέξεως ὑπάρχει μεγάλη διαφωνία· συνήθως θεωροῦσιν οἱ ἐτυμολόγοι ὡς συγγενῆ τοῦ β ρ έ μ ω, ἄλλοι τοῦ φ λ έ ω, φ λ έ ψ. Πιθανώτερον ὁ **Döderlein** παράγει ἐκ τοῦ β λ έ μ μ α καί, ὡς λέγει, ἔπρεπε νὰ ἦναι β λ ε μ μ α ί ν ε ι ν, ἀλλὰ τὸ μ ἐτράπη εἰς φωνῆεν, ὡς τὸ σ τ ε ρ ε ὸ ς ἐκ τοῦ σ τ ε ρ ρ ὸ ς καὶ βορέης ἐκ τοῦ βορρᾶς. Κατὰ τὸ ἔτυμον τοῦτον σημαίνει θαρραλέως βλέπειν, ὅπερ ἁρμόζει ἐνταῦθα.

[6] Ὁ σύνδεσμος ἀνήκει εἰς τὸ ὡς καὶ ἁπαντᾷ πολλάκις ἐν ταῖς παραβολαῖς, ὡς Γ 33, Δ 141, Μ 150 καὶ πολλαχοῦ. Ἄξιον σημειώσεως, ὅτι οἱ Ἀχαιοὶ φεύγοντες παραβάλλονται πρὸς θηρία ἀλκιμώτατα. Οἱ ἀρχαῖοι ὅμως ἐπειρῶντο νὰ ἐξηγήσωσι τοῦτο λέγοντες, ὅτι ἡ παραβολὴ γίνεται οὐχὶ πρὸς τὴν ἰσχύν, ἀλλὰ πρὸς τὸ τάχος, καὶ ὅτι οἱ κύνες ἐν ταῖς θήραις εἶναι ἐπιτήδειοι πρὸς δίωξιν.

[7] Προσηκόντως μετεχειρίσθη τὸ ἅπτεσθαι, διότι ὁ κύων δὲν ἐπιλαμβάνεται, ἀλλὰ μόνον ἐπιπηδᾷ ὑλακτῶν. Ὡσαύτως δὲν τολμᾷ νὰ προσέλθῃ ἐναντίος, ἀλλὰ μόνον ὄπισθεν μετ' ἐπιφυλάξεως προσβάλλει.

[8] Τὰ πλεῖστα τῶν χειρογράφων ἔχουσι πεποιθώς.

ἰσχία τε γλουτούς [1] τε, ἑλισσόμενόν τε δοκεύει [2],
ὡς Ἕκτωρ ὤπαζε [3] χάρη κομόωντας Ἀχαιούς,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον [4]· οἱ δ' ἐφέβοντο.
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας [5] καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερσίν,
οἱ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο [6] μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι [7] καὶ πᾶσι θεοῖσιν
χεῖρας ἀνίσχοντες [8] μεγάλ' εὐχετόωντο ἕκαστος·
Ἕκτωρ δ' ἀμφιπεριστρώφα [9] καλλίτριχας ἵππους,

[1] Κατὰ τὸν Εὐστάθιον· «σφαίρωμα κοτύλης, ἢ τὸ ὄπισθεν βαθὺ τῶν μηρῶν», τὸ κολομήριον. Αἱ αἰτιατικαὶ αὗται παρέχουσι πολλὰς δυσκολίας τοῖς ἑρμηνευταῖς· καὶ ὁ μὲν Εὐστάθιος ἐννοεῖ τὴν κατὰ πρόθεσιν, ἄλλοι συντάσσουσι ταύτας πρὸς τὸ δοκεύει καὶ ἄλλοι θεωροῦσιν ὡς ἐπεξήγησιν τοῦ δοκεύει, ὅπερ πιθανώτερον.

[2] Καὶ περιστρεφόμενον τὸν ἀγριόχοιρον παρατηρεῖ, προσέχει εἰς τοὺς ἑλιγμούς τούτου.

[3] Ἐπηκολούθει, ἐδίωκεν. Σημειωτέον, ὅτι τὸ ῥῆμα δηλοῖ τὴν ἐγγύθεν δίωξιν.

[4] Ὑπερθετικὸν τοῦ ὀπίσω, ὡς λέγει ὁ Εὐστάθιος· «Δύναται δὲ καὶ ἀπὸ τοῦ ὀπίσω εἶναι ὀπισώτατος καὶ ἐν συγκοπῇ ὀπίστατος».

[5] Οἱ Ἀχαιοὶ εἶχον ἐμπήξει πασσάλους πρὸς ὀχύρωσιν τῆς τάφρου, Η 441.

[6] Ἐκωλύοντο, ἀνεχαιτίζοντο. Τὸ ἐρητύοντο ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἔβησαν, ὡς τὸ μένοντες πρὸς τὸ φεύγοντες.

[7] Ἀόριστος β' τοῦ κέλομαι, ἐνθαρρύνοντες, παρορμῶντες. Ἡ μετοχὴ αὕτη γραμματικῶς μὲν ἀποδίδεται εἰς τὸ εὐχετόωντο, κατ' ἔννοιαν ὅμως ἁρμόζει μᾶλλον εἰς τὸ ἐρητύοντο. Οἱ ἀρχαῖοι ἤθελον νὰ διορθώσωσι τὸ μεγάλ' εἰς μέγα δ', ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «ὡς εἴ γε διὰ τοῦ δ ἐγράφετο, μέγα δ' εὐχετόωντο, ἐστίξαμεν ἂν ἐπὶ τὸ ἀνίσχοντες. Καὶ τάχα γραφικὸν ἁμάρτημα γέγονεν». Ἄλλοι ὅμως ἀπήτουν ἐνταῦθα ῥῆμα ὀρθόν, ἐκέκλοντο.

[8] Τοῦτο δεικνύει τὸν ἀπελπισμὸν τῶν κινδυνευόντων.

[9] Περιήλαυνε, περιέστρεφε τοὺς ἵππους, ὅπως εὕρῃ πάροδον νὰ εἰσελάσῃ. Κατὰ τὸν La Roche τὸ στρωφάω εἶναι θαμιστικὸν τοῦ στρέφω, ὡς τὸ τρωχάω τοῦ τρέχω Χ 16 καὶ τὸ τρωπάω τοῦ τρέπω Λ 568 καὶ Π 95. Ὁ ποιητὴς δὲν

Γοργοῦς [1] ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος.
Τοὺς δὲ ἰδοῦσ' ἐλέησε θεὰ λευκώλενος Ἥρη,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
«Ὤ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶϊ
ὀλλυμένων Δαναῶν κεκαδησόμεθ' [2] ὑστάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται
ἀνδρὸς ἑνὸς ῥιπῇ [3]· ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ἔοργεν».
Τὴν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
«Καὶ λίην [4] οὗτός γε μένος θυμόν τ' ὀλέσειεν,
χερσὶν ὑπ' Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ·
ἀλλὰ πατὴρ οὑμὸς [5] φρεσὶ μαίνεται οὐκ ἀγαθῇσιν,
σχέτλιος, αἰὲν ἀλιτρός [6], ἐμῶν μενέων ἀπερωεύς [7].

ἐμνημόνευσεν, ὅτι ὁ Ἕκτωρ ἐπέβη τοῦ ἅρματος.

[1] Κατ' ἄλλους μὲν ἡ λέξις εἶναι συγγενὴς τοῦ ὀργή, κατ' ἄλλους δὲ ἐγένετο κατ' ἀναδιπλασιασμὸν ὡς καὶ τὸ Μορμώ. Οἱ δεχόμενοι τὸ δεύτερον λέγουσιν, ὅτι ἡ ῥίζα εἶναι γαρ καὶ σημαίνει τὴν βοῶσαν, τὴν ἀπειλοῦσαν, ὅπερ ἀπίθανον· διότι τοῦ τέρατος ἡ ὄψις καὶ οὐχὶ ἡ φωνὴ ἐνεποίει φόβον. Ἀντὶ τοῦ ὄμματ' ὁ Ἀρίσταρχος ἔγραφεν οἵματ' (ὁρμήματα), ὅπερ ἐδέξατο ὁ Bekker ὁ Koch καὶ εἴ τις ἄλλος.

[2] Μέλλων τοῦ κήδομαι μετ' ἀναδιπλασιασμοῦ· ἡμεῖς δὲν θὰ φροντίσωμεν ἀκόμη διὰ τοὺς καταστρεφομένους Δαναοὺς τοὐλάχιστον κατὰ τὴν τελευταίαν στιγμήν;

[3] Ὁρμῇ, ἐκ τοῦ ῥίπτω. Ἡ ἑπομένη πρότασις εἶναι παρατακτικὴ ἀντὶ ἀναφορικῆς.

[4] Διὰ τοῦ καὶ λίην ἡ Ἀθηνᾶ ὁμολογεῖ, ὅτι τὰ ὑπὸ τῆς Ἥρας λεχθέντα εἶναι ἀληθῆ καὶ εὔχεται, ἵνα ἀπολεσθῇ ὁ Πριαμίδης.

[5] Ἐν ἀντιθέσει πρὸς τὸ οὗτός γε· δηλ. ἔχεις δίκαιον, ἀλλ' αἴτιος εἶναι ὁ ἐμὸς πατήρ.

[6] Κατὰ συγκοπὴν ἐκ τοῦ ἁλιτηρὸς (ἁλιτεῖν) ἁμαρτωλός, ἀνόσιος, κακοῦργος.

[7] Τῆς ἐμῆς προθυμίας κωλυτής, ἀναστολεύς. Ἡ λέξις εἶναι ἐκ τῶν ἅπαξ εἰρημένων παραγομένη ἐκ τοῦ ἀπερωέω=κωλύω, ἐμποδίζω. Τοῦτο δὲ τὸ ἀπερωέω εἶναι σύνθετον ἐκ τῆς ἀπὸ καὶ ἐρωὴ = ὁρμή.

οὐδέ τι τῶν [1] μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν [2]
τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων [3].
ἤτοι ὁ μὲν κλαίεσκε [4] πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς
τῷ ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ [5] ἐγὼ τάδε ἤδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν [6],
εὖτέ μιν εἰς 'Αΐδαο πυλάρταο [7] προὔπεμψεν
ἐξ 'Ερέβευς ἄξοντα κύνα [8] στυγεροῦ 'Αΐδαο·
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος [9] αἰπὰ ῥέεθρα.

[1] Οὐδὲ κατά τι ἐνθυμεῖται ταῦτα. Μετεχειρίσθη δὲ τὸν πληθυντικὸν ἀριθμόν, διότι ὑπῆρξαν πολλαὶ περιςάσεις σωτηρίας, ὡς δεικνύει τὸ μ ά λ α π ο λ λ ά κ ι.

[2] 'Εννοεῖ τὸν 'Ηρακλέα.

[3] Τινὲς συντάσσουσι μετὰ τοῦ σώεσκον φέροντες ὡς παράλληλον τὸ ἐν I 248· «ἐρύεσθαι ὑπὸ Τρώων ὁρυμαγδοῦ», πιθανώτερον ὅμως ἄλλοι συντάσσουσι μετὰ τοῦ τειρόμενον· κατατρυχόμενον, κατοπονούμενον ὑπὸ τῶν ἄθλων τοῦ Εὐρυσθέως.

[4] 'Ο Παραφραστὴς ἑρμηνεύει· «ἔκλαιε βλέπων».

[5] 'Υπό τινων σπουδαίων ἑρμηνευτῶν θεωρεῖται ὡς εὐχή, δύναται ὅμως νὰ ληφθῇ καὶ ὡς ὑπόθεσις, ἧς ἀπόδοσις εἶναι τὸ ο ὐ κ ἄ ν ὑ π ε ξ έ φ υ γ ε. Τάδε εἶναι τὰ νῦν τελούμενα, τὰ νῦν γιγνόμενα.

[6] Πευκάλιμος σημαίνει τὸν φρόνιμον, τὸν συνετόν· τὸ ἔτυμον ὅμως τοῦ ἐπιθέτου εἶναι ἀμφίβολον· διότι κατά τινας εἶναι συγγενὲς τοῦ π υ κ ι ν ό ς, κατ' ἄλλους δὲ τοῦ π ε ύ κ η.

[7] Πυλάρτης εἶναι ὁ τὰς πύλας ἀραρίσκων ἢ εἴρων, ὁ κλείων τὰς πύλας. Κατὰ τὸν Döderlein ἐγένετο διὰ συγκοπῆς ἐκ τοῦ π υ λ η ρ έ τ η ς. 'Ο "Αδης ἔχει τὸ ἐπίθετον τοῦτο, καθ' ὅσον οὐδεὶς θνητὸς ἐκεῖθεν ἐξέρχεται. Τὸ ὑποκείμενον τοῦ π ρ ο ὔ π ε μ ψ ε ν εἶναι ὁ Εὐρυσθεύς. Τὸν 'Ηρακλέα ὡδήγησαν ὁ 'Ερμῆς καὶ ἡ 'Αθηνᾶ, λ 626.

[8] Οὕτως ὀνομάζει τὸν Κέρβερον, διότι τὸ ὄνομα τοῦτο ἀγνοεῖ ὁ ποιητής. Κατὰ πρῶτον τὸ ὄνομα ἁπαντᾷ παρ' 'Ησιόδῳ ἐν Θεογον. 311. «Κέρβερον ὠμηστήν, 'Αΐδεω κύνα χαλκεόφωνον, πεντηκοντακάρηνον, ἀναιδέα τε κρατερόν τε». 'Η 'Αθηνᾶ ὀνομάζει μόνον τοῦτον τὸν ἆθλον, διότι ἦτο ὁ φοβερώτατος πάντων, λ. 623.

[9] 'Εκ τῆς λέξεως ταύτης ἐξαρτᾶται ἡ γενικὴ Στυγός, ὡς ἐν B 755. 'Ο Εὐστάθιος παρατηρεῖ· «"Οτι δὲ ὁ γεωγράφος λιβάδιον αὐτὴν ὀλεθρίου ὕδατος λέγει, καὶ

νῦν δ' [1] ἐμὲ μὲν στυγέει, Θέτιδος δ' ἐξήνυσε βουλάς,370
ἥ οἱ γούνατ' ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου [2],
λισσομένη τιμῆσαι Ἀχιλλῆα [3] πτολίπορθον.
ἔσται [4] μὰν ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.
ἀλλὰ σὺ μὲν νῦν νῶϊν ἐπέντυε [5] μώνυχας ἵππους,
ὄφρ' ἂν ἐγὼ [6] καταδῦσα Διὸς δόμον αἰγιόχοιο 375
τεύχεσιν [7] ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι,
εἰ νῶϊ Πριάμοιο πάϊς, κορυθαίολος Ἕκτωρ,
γηθήσει προφανέντε [8] ἀνὰ πτολέμοιο γεφύρας,

ὅτι ψυχρότατον τὸ κατ' αὐτὴν ὕδωρ, ὃ μηδὲν ἀγγεῖον στέγειν εἶχεν ἐξ ὀστράκου δηλαδή, εἴτε ὑέλου, πλὴν εἴ περ ἀπὸ κέρατος».

[1] Ἐν ἀντιθέσει πρὸς τὰ εἰρημένα ἐν στίχ. 362. Κατὰ τὸν Εὐστάθιον· «Τὸ δὲ στυγεροῦ καὶ τὸ Στυγὸς καὶ τὸ στυγέει ἐγγὺς ἀλλήλων παρακείμενα οὐ μακράν εἰσιν ἐτυμολογίας ἢ παρηχήσεως».

[2] Τοῦτο ἐγένετο ἐν Α 501. Ἡ Ἀθηνᾶ εἰκονίζει τὴν εὔνοιαν τοῦ Διὸς ὡς προελθοῦσαν ἐκ χολακείας, ἐν ᾧ ὁ Ζεὺς ἦτο εὐγνώμων τῇ Θέτιδι Α 398. Σημειωτέον, ὅτι ὁ τολμηρὸς Ζηνόδοτος ἠθέτει τοὺς δύω στίχους 371 καὶ 372, ὡς λέγει ὁ Σχολιαστής· «Ἀθετοῦνται δύο στίχοι, ὅτι οὐκ ἔδει κατὰ μέρος διηγήσασθαι, καὶ ταῦτα πρὸς τὴν καλῶς εἰδυῖαν». Καὶ ὅμως παραπλήσια ὑπάρχουσι πολλὰ παρ' Ὁμήρῳ.

[3] Ἡ ἀνάμνησις τοῦ Ἀχιλλέως εἶναι δεσμὸς τοῦ μύθου καὶ μαρτυρία περὶ τῆς ἑνότητος τῆς Ἰλιάδος. Πτολίπορθος συνήθως λέγεται ὁ Ὀδυσσεύς, ἀλλὰ τὸ ἐπίθετον τοῦτο ἀποδίδεται τῷ Πηλείδῃ καὶ ἐν Φ 450.

[4] Τὸ ὑποκείμενον ἐννοεῖται, δηλ. χρόνος, θὰ ὑπάρξῃ βεβαίως χρόνος, καθ' ὃν πάλιν θὰ μ' ὀνομάσῃ ἀγαπητὴν γλαυκώπιδα. Τοῦτο ὑποδηλοῖ, ὅτι ἡ Ἀθηνᾶ μαθοῦσα τὴν ἀγνωμοσύνην τοῦ Διὸς θέλει παρακούσει, ὅπερ ἀποσιωπᾷ.

[5] Ἑτοίμαζε, παρασκεύαζε. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Οὐχ ὡς ἥττονι κελεύει, ἀλλὰ καιρὸν λαμβάνουσα πρὸς τὸν ὁπλισμόν».

[6] Ἀντὶ τῆς παρατακτικῆς προτάσεως ἐγὼ δέ, ἔχει ἐξηρτημένην.

[7] Δηλαδὴ τοῦ Διός, ὡς ἐν Ε 736.

[8] Κοινῶς ἀναγινώσκεται προφανείσα, ἀλλὰ τὰ ἄριστα τῶν χειρογράφων ἔχουσι προφανέντε καὶ φαίνεται, ὅτι ὁ Ἀρίσταρχος ἐν τῇ δευτέρᾳ ἐκδόσει τὴν γραφὴν ταύτην προετίμα. Λίαν δὲ συχνάκις τίθεται ὁ δυϊ-

ἦ τις καὶ Τρώων κορέει [1] κύνας ἠδ' οἰωνούς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν».
«Ὣς [2] ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει,
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.

χὸς τοῦ ἀρσενικοῦ ἀντὶ τοῦ δυϊκοῦ τοῦ θηλυκοῦ, ὡς ἐν Ο 455 «πληγέντε κεραυνῷ, ἄψ ἐς Ὄλυμπον ἴκεσθον», Ἡσιοδ. ἐν Ἔργ. 199 «καλυψαμένω χρόα καλὸν ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους Αἰδὼς καὶ Νέμεσις». Ὄρα καὶ Σοφοκλ. ἐν Ἠλέκτρ. 1003 καὶ Οἰδίπ. ἐπὶ Κολων. 1676. Πρὸς τούτοις παρέχει δυσκολίαν, ὅτι τὸ γ η θ έ ω συνετάχθη πρὸς αἰτιατικὴν μετοχῆς, ὅπερ δὲν ἁπαντᾷ. Ὁ Εὐστάθιος ἐπειρᾶτο νὰ ἐξηγήσῃ οὑτωσί· «Δύναται δὲ θεραπευθῆναι τὸ σολοικοειδές, ἢ δι' ἀντιπτώσεως ὡς εἴ τις εἶπεν, εἰ νῶιν προφανείσαιν γηθήσει, ἀντὶ τοῦ ἡμῶν φανεισῶν, ἢ προσλήψει τῆς εἰς προθέσεως ἢ τῆς διά, ἵνα λέγῃ ὅτι ἴδω, ἐὰν ὁ Ἕκτωρ εἰς ἡμᾶς ἢ δι' ἡμᾶς γηθήσει φανείσας ἐν τῷ πολέμῳ». Οἱ νεώτεροι παρατηροῦσιν, ὅτι τὸ γ η θ έ ω δέχεται τοιαύτην σύνταξιν, ὡς καὶ τὸ ἄχθομαι ἐν Ν 352 «ἤχθετο γάρ ῥα Τρωσὶν δαμναμένους». Θὰ ἴδω, ἂν θὰ χαρῇ ὁ υἱὸς τοῦ Πριάμου διὰ τὴν ἐμφάνισιν ἡμῶν εἰς τὸ πεδίον τῆς μάχης.

[1] Μέλλων ἐπικὸς καὶ ἰωνικὸς ἀντὶ κορέσει. Διὰ τῆς φράσεως ταύτης δηλοῖ, ὅτι τὰ πτώματα τῶν πεσόντων θέλουσι μείνει ἄταφα, ὅπερ ἐν τῷ ἡρωϊκῷ αἰῶνι ἦτο φοβερόν. Ὄρα σημ. εἰς Α, 4.

[2] Οἱ στίχοι 381—383 ἑρμηνεύονται ἐν Ε 719—721, οἱ 384—388 ἐν Ε 733—737 καὶ οἱ 389—396 ἐν Ε 745—752. Σημειωτέον, ὅτι τοὺς τρεῖς στίχους 385—387 ἠθέτουν τρεῖς μεγάλοι κριτικοὶ τῆς Ἀλεξανδρείας, ὁ Ζηνόδοτος, ὁ Ἀριστοφάνης καὶ ὁ Ἀρίσταρχος διὰ τὸν λόγον, ὃν εὑρίσκομεν παρὰ τῷ Σχολιαστῇ· «Ἐνταῦθα δὲ πρὸς οὐδὲν ἀναλαμβάνει τὴν παντευχίαν». Ἡ Ἀθηνᾶ ὅμως ἔλαβε τὴν πανοπλίαν, διότι

ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ' ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῆς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε[1], χώσατ' ἄρ' αἰνῶς,
Ἶριν δ' ὤτρυνε χρυσόπτερον[2] ἀγγελέουσαν·
«Βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε[3], μηδ' ἔα ἄντην
ἔρχεσθ'· οὐ γὰρ καλὰ[4] συνοισόμεθα πτολεμόνδε.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω[5] μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέω[6], κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους[7] περιτελλομένους ἐνιαυτοὺς

δὲν ἐγίνωσκεν, ὅτι ἔμελλε νὰ κωλυθῇ ὑπὸ τοῦ Διός.

[1] Τὸ ἀντικείμενον λείπει, δηλ. τὰς δύω θεάς.

[2] Πρέπει νὰ ἐννοήσωμεν ἀληθῆ πτερά. Οἱ ἄλλοι ὅμως θεοὶ δὲν παρίστανται πτερόεντες· αὐτὸς ὁ Ἑρμῆς ἔχει ἀντὶ πτερῶν πέδιλα, ε 45. Ὁ ποιητὴς δὲν φροντίζει νὰ εἴπῃ τῷ ἀκροατῇ αὐτοῦ, πῶς ἡ Ἶρις εὑρέθη ἐπὶ τῆς Ἴδης.

[3] Ὁ Ζεὺς ὠργισμένος καὶ σπεύδων δὲν ὀνομάζει τὰς ἀπειθεῖς θεάς, ἀλλ', ὡς φαίνεται, ἔδειξε ταύτας διὰ τῆς χειρὸς ἢ διὰ νεύματος.

[4] Ἀντὶ καλῶς· σχῆμα λιτότητος· διότι κακὰ θὰ συναντηθῶμεν εἰς τὸν πόλεμον.

[5] Ἐκ τοῦ γυιὸς = χωλός. Ὁ Εὐστάθιος ἑρμηνεύει· «Γυιῶσαι δὲ τὸ χωλῶσαι λέγει, ἀφ' οὗ γυιὸν ὀξοτόνως τὸ χωλόν, ὡς παρὰ Λυκόφρονι γυιαὶ μοῖραι αἱ χωλαί, καὶ Ἥφαιστος ἀμφιγυιήεις ὁ ἀμφοτέρους τοὺς πόδας χωλός».

[6] Ἐννοεῖ διὰ τοῦ κεραυνοῦ, ὡς γίνεται δῆλον ἐκ τοῦ στίχ. 405.

[7] Ὁ ποιητὴς ἠδύνατο νὰ εἴπῃ, ἐς δέκα ἐνιαυτοὺς ἢ ἐς δέκατον ἐνιαυτόν, ἀλλ' ἀνέμιξε τὰς δύω φράσεις, ὡς ὁ Αἰσχύλος ἐν Ἑπτὰ ἐπὶ Θήβ. 125·

ἔλκε᾽ ἀπαλθήσεσθον [1], ἅ κεν μάρπτῃσι κεραυνός·
ὄφρ᾽ εἰδῇ γλαυκῶπις, ὅτ᾽ [2] ἂν ᾧ πατρὶ μάχηται.
Ἥρῃ δ᾽ οὔτι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν [3] ἐνικλᾶν ὅττι κεν εἴπω».

Ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος [4] ἀγγελέουσα,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
πρώτῃσιν [5] δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
ἀντομένη [6] κατέρυκε, Διὸς δέ σφ᾽ ἔννεπε μῦθον·

«ἐν ἑβδόμαις πύλαις» ἀντὶ ἐν ἑπτὰ πύλαις.

[1] Μέλλων τοῦ ἀπάλθομαι. Ἐντὸς δέκα ἐτῶν δὲν θὰ θεραπεύσωσι τὰ ἕλκη. Σημειωτέον, ὅτι ἐν τῇ ἑτέρᾳ ἐκδόσει τοῦ Ἀριστάρχου ὑπῆρχεν ἡ γραφή, ἕλκε᾽ ἀπαλθήσονται. Ὅρα, ὅτι οἱ ὁμηρικοὶ θεοί, καίπερ ὄντες κατὰ θεωρίαν ἀθάνατοι, ὅμως τιτρώσκονται. Ὁ Εὐστάθιος παρατηρεῖ· «καὶ ὡς λεπτόσωμα τὰ δαιμόνια ἡ ποιητικὴ παχύτης νοεῖν βούλεται, εἴ γε ὑπὸ κεραυνῶν ἕλκεα πάσχουσι». Τὸ μάρπτω θεωρεῖται συγγενὲς τῶν ἅρπη, ἅρπαξ, ἁρπάζω. Εἶναι δὲ ἐνταῦθα βραχυλογία ἀντὶ μάρψας ποιέῃ, δηλ. καταφθάσας κάμνῃ. Παραπλησία ὑπάρχει ἐν Ε 795, ὅπου ἰδὲ τὴν σημείωσιν.

[2] Μετὰ τὸ οἶδα ἕπεται χρονικὸς λόγος καὶ ἐν Ξ 7 καὶ π 424, ὡς καὶ μετὰ τὸ μιμνήσκεσθαι Ο 18, Υ 188, Φ 396. Ὑπὸ πολλῶν θεωρεῖται ἡ φράσις ἐλλειπτική, ὡς ὁ Εὐστάθιος λέγει· «ἐλλιπῶς ἔχει διὰ μυθικὴν λόγου ἐγκοπήν. Καὶ ἄδηλον μὲν τί ἐλλείπει τῷ λόγῳ, ἔστι δὲ νοῆσαι, ἵνα εἰδῇ τί ἐσφάλη, ἢ ἵνα εἰδῇ ὅτι ἀφραίνει, ἢ ὅτι χρείττονι ἀντιφερίζει, ἢ τοιοῦτόν τι, ὁποῖον μάλιστα τό, ἣν ἄτην». Καὶ ἡμεῖς μεταχειριζόμεθα ἐλλειπτικὴν φράσιν ἐν τοιαύτῃ περιστάσει· ν᾽ ἀμάθῃ, ὅταν τὰ βάλλῃ μὲ ἐμέ.

[3] Ἀλλαχοῦ ὁ ποιητὴς λέγει εἴωθα. Τὸ ἐνικλάω ἔχει δεύτερον συνθετικὸν μέρος τὸ κλάω = θραύω. Σημαίνει λοιπὸν ἐμποδίζω, ματαιόνω.

[4] Ἀλλαχοῦ ὀνομάζεται ποδήνεμος ἐν Β 786. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ταχεῖα, ἀέλλαις κατὰ τὸ τάχος παραπλησία».

[5] Δὲν δηλοῖ, ὅτι ὑπῆρχον πολλαὶ πύλαι, ἀλλὰ μόνον τὰς ἄκρας, δι᾽ ὧν διῆλθον ἐν στίχ. 396. Τοῦτο μαρτυρεῖ τὴν καταπληκτικὴν ταχύτητα τῆς Ἰριδος.

[6] Ἀντομένη ταῖς θεαῖς, κατέρυκε τὰς θεάς.

«Πῇ μέματον [1]; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ [2] ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν.
ὧδε γὰρ ἠπείλησε Κρόνου παῖς, ᾗ [3] τελέει περ·
γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέειν κατά θ' ἅρματα ἄξειν·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτούς
ἕλκε' ἀπαλθήσεσθον, ἄ κεν μάρπτῃσι κεραυνός·
[ὄφρ' [4] εἰδῇς, γλαυκῶπι, ὅτ' ἂν σῷ πατρὶ μάχηαι.
Ἥρῃ δ' οὔτι τόσον νεμεσίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπῃ.

[1] Ποῦ τρέχετε; ποῦ σπεύδετε; Ὅρα, ὅτι ἡ Ἶρις ἐκ σπουδῆς δὲν προσφωνεῖ τὰς θεάς. Τὸ ἑπόμενον τί δὲν εἶναι αἰτιολογικόν, ἀλλὰ προσδιορίζει τὸ νοούμενον ἀντικείμενον τοῦ μαίνεται.

[2] Τὸ μὲν ἀσύνδετον κεῖται ἀντιθετικῶς, ὁ δὲ ἐνεστὼς δηλοῖ τὴν διαρκῆ θέλησιν τοῦ Κρονίδου.

[3] Οὕτως ἔγραφεν ὁ Ἀρίσταρχος, ἐν ᾧ τὰ χειρόγραφα ἔχουσιν εἰ, ὅπερ ποιεῖ τὴν ἀπειλὴν ἀσθενεστέραν. Οἱ ἄγγελοι, οἱ κήρυκες καί, καθ' ὅλου εἰπεῖν, τὰ ὑπηρετικὰ πρόσωπα ἐπαναλαμβάνουσι παρ' Ὁμήρῳ τὰς αὐτὰς φράσεις τῶν ἐντολέων αὐτῶν. Τοῦτο ἐξηγεῖται ἐκ τῆς στενῆς διανοίας, δι' ἣν δὲν δύνανται νὰ ἀγγείλωσι μόνον τὴν ἔννοιαν τῆς ἐντολῆς.

[4] Οἱ πέντε ἑπόμενοι στίχοι ἠθετοῦντο ὑπὸ τοῦ Ἀριστάρχου, ἡ δὲ ἀθέτησις ἐπιδοκιμάζεται ὑπὸ τῶν νεωτέρων· διότι τὰ ἐν τοῖς δυσὶ πρώτοις στίχοις ἐλέχθησαν μὲν ὑπὸ τοῦ Διός, ἀλλὰ δὲν προωρίσθησαν, ἵνα ἀγγελθῶσι ταῖς θεαῖς. Οἱ δὲ ἄλλοι τρεῖς ἀντίκεινται εἰς τὸν ἤπιον χαρακτῆρα τῆς Ἴριδος. Παρὰ τῷ Σχολιαστῇ εὑρίσκομεν τὴν ἑξῆς θεραπείαν· «Θεραπεύεται δὲ καὶ διὰ τοῦ εἰ ἐτεόν γε τολμήσεις· οὐ γὰρ ἀντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσειε μάχεσθαι τῷ Διί. Πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διός, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκε. Τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται (Ἰλιάδ. Ο 178. 201) οὐ μόνον τὴν τοῦ ἀγγέλου, ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα χώραν». Ἡ γνώμη τοῦ Σχολιαστοῦ δὲν στερεῖται πιθανότητος. Τὰ ἄριστα τῶν χειρογράφων ἔχουσι Γλαυκῶπι καὶ οὐχὶ Γλαυκῶπις, ὡς κοινῶς ἐγράφετο.

ἀλλὰ σύ γ' [1] αἰνοτάτη, κύον ἀδεές [2], εἰ ἐτεόν γε
τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι]».
Ἦ μὲρ ἄρ' ὡς εἰποῦσ' ἀπέβη [3] πόδας ὠκέα Ἶρις,
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν·
«Ὤ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτ' ἔγωγε
νῶϊ ἐῶ Διὸς ἄντα βροτῶν [4] ἕνεκα πτολεμίζειν.
τῶν ἄλλος μὲν ἀποφθίσθω, ἄλλος δὲ βιώτω [5],
ὅς κε τύχῃ [6]· κεῖνος δὲ τὰ ἃ [7] φρονέων ἐνὶ θυμῷ
Τρωσί τε καὶ Δαναοῖσι δικαζέτω [8], ὡς ἐπιεικές».

[1] Συνήθως μετὰ τὸ σύ γ' τίθεται κόμμα καὶ οὕτω τὸ αἰνοτάτη θεωρεῖται κατηγορούμενον. Γεννᾶται ὅμως ἡ δυσκολία, ὅτι ἐλλείπει τὸ κατηγορούμενον. Ἄλλοι παραλείποντες τὸ κόμμα καὶ ἐννοοῦντες τὸ ἐσσὶ λέγουσι τὸ αἰνοτάτη κατηγορούμενον. Κατὰ τὸν Ameis ἡ ἐπιφώνησις κατ' ἔννοιαν ἀποτελεῖ τὴν ἀπόδοσιν τῆς ἑπομένης ὑποθέσεως, ὅπερ φαίνεται πιθανόν. Οἱ ἀρχαῖοι ὅμως ἐπεχείρησαν καὶ ἄλλως νὰ ἑρμηνεύσωσι τὸ χωρίον, ὡς ἀναγινώσκομεν παρὰ τῷ Εὐσταθίῳ· «Ἔστι δὲ συμβιβάσαι καὶ ἄλλως τὴν τοιαύτην διὰ τοῦ ὑψηλοῦ γραφὴν οὕτω, νοουμένου ἀπὸ κοινοῦ τοῦ νεμεσίζεται καὶ χολοῦται, ἵνα λέγῃ ὅτι ἀλλ' ἀγαναχτεῖ ὁ Ζεύς, εἴπερ σὺ τολμήσεις ἀντιστῆναι αὐτῷ».

[2] Κοινῶς ἐγράφετο διὰ δύω δ, ἀλλὰ νῦν ἐπεκράτησεν ἡ γνώμη τοῦ Ἀριστάρχου γράφοντος δι' ἑνός.

[3] Ἡ Ἶρις ἀπῆλθε μὴ περιμείνασα ἀπόκρισιν, διότι ἠθέλησε νὰ καταλίπῃ τὴν κατάπληξιν μείζονα.

[4] Περὶ τῶν θνητῶν ὁμιλεῖ μετὰ περιφρονήσεως, ὡς εἰ ἐλέγομεν περὶ μυρμήκων. Παραπλήσια λέγονται ἐν Α 574 καὶ Φ 462 «οὐκ ἄν με σαόφρονα μυθήσαιο ἔμμεναι, εἰ δή σοί γε βροτῶν ἕνεκα πτολεμίξω δειλῶν, οἵ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες, ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι». Φαίνεται, ὅτι ὁ λόγος τοῦ Διὸς μετέβαλε τὴν γνώμην τῆς Ἥρας.

[5] Κατά τινας μὲν εἶναι ἀόριστος β' τοῦ βιοῦν, κατ' ἄλλους ὅμως πιθανώτερον ἐνεστὼς κατ' ἀρχαιότερον ἔθος συναιρεθείς. Ὅρα Ebeling ἐν λ.

[6] Ἐκ τῶν ἡγουμένων προστακτικῶν νοοῦνται αἱ μετοχαὶ ἀποφθίμενος καὶ βιούς.

[7] Δηλαδὴ τὰ ἑά, ἤτοι κατὰ τὸ δοκοῦν αὐτῷ, κατὰ τὴν ἰδίαν γνώμην.

[8] Ἂς κρίνῃ, ἃς ἀποφασίζῃ μεταξὺ τῶν Τρώων καὶ τῶν Δαναῶν, ὡς Α 542· διότι ὁ Ζεὺς εἶ-

Ὣς ἄρα φωνήσασα πάλιν τρέπε [1] μώνυχας ἵππους.
τῇσιν δ' Ὧραι μὲν λῦσαν [2] καλλίτριχας ἵππους·
καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσιν [3],
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια [4] παμφανόωντα·
αὐταὶ δὲ [5] χρυσέοισιν ἐπὶ κλισμοῖσι καθῖζον
μίγδ' [6] ἄλλοισι θεοῖσι, φίλον τετιημέναι [7] ἦτορ.

Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππους
Οὐλυμπόνδε δίωκε [8], θεῶν δ' ἐξίκετο θώκους.

ναι ταμίης πολέμοιο. Ὁ Düntzer θεωρεῖ τὴν ὑποχώρησιν ταύτην τῆς Ἥρας ὡς μεταγενεστέραν προσθήκην· διότι δὲν ἁρμόζει εἰς τὸν χαρακτῆρα τῆς θεᾶς. Ὄντως μετ' ὀλίγον ὀργίζεται κατὰ τοῦ Διὸς καὶ ἐκδηλοῖ συμπάθειαν ὑπὲρ τῶν Ἀχαιῶν ἐν στίχ. 464. Ἀλλ' ἴσως ἐνταῦθα ἡ θεὰ διὰ τὸν φόβον εὑρίσκει λόγον ὑποχωρήσεως.

[1] Ὅρα, ὅτι ἡ Ἥρα τρέπει τοὺς ἵππους μὴ περιμείνασα τὴν ἀπόκρισιν τῆς Ἀθηνᾶς.

[2] Τοῦτο δὲν ἦτο ἔργον τῶν Ὡρῶν, ἀλλὰ γίνεται ὡς φιλοφρόνησις πρὸς τὰς ὑπερτέρας θεάς.

[3] Κάπη=φάτνη, ἐκ τοῦ κάπτω, ὅπερ λέγεται ἐπὶ τοῦ χανδὸν ἐσθίειν. Μέχρι τοῦδε λέγομεν χάφτω καὶ χάφτας.

[4] Ἐκ τοῦ ἐνωπὴ (ὠψ) ἐγένετο τὸ ἐπίθετον ἐνώπιος, οὗ τὸ οὐδέτερον περιέπεσεν εἰς οὐσιαστικοῦ σημασίαν. Κατὰ τὸν Εὐστάθιον ἡ λέξις σημαίνει· «Ἐνώπια δὲ τὰ καὶ ἀλλαχοῦ κείμενα πολλοὶ μὲν τοὺς παροδίους τῆς οἰκίας λέγουσι τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου, οἳ ἐν ὀφθαλμοῖς εἰσι τῶν παροδευόντων ἔξωθεν, διὸ καὶ παμφανόωντα τὰ τοιαῦτα. Ἡ μέντοι Ὀδύσσεια ἐν τῇ κατὰ τοὺς μνηστῆρας μάχῃ ἐμφαίνει ἐνώπια μάλιστα τοίχων εἶναι τὰ ἐν τῇ τῶν θυρῶν εἰσόδῳ καὶ ἐξόδῳ πλάγια». Διὰ τὶ λέγονται παμφανόωντα, ὑπάρχει διαφωνία· κατὰ μὲν τὸν Σχολιαστήν, διότι ἐφωτίζοντο ὑπὸ τῶν θυρῶν, κατὰ δὲ τὸν Koch, ἕνεκα τῶν μεταλλίνων κοσμημάτων.

[5] Ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ. Τὸ κλισμὸς παραγόμενον ἐκ τοῦ κλίνω σημαίνει ἀνακλιντήριον.

[6] Διάφορος τύπος τοῦ μίγδην, ὡς τὸ κρύβδα τοῦ κρύβδην. Σημειωτέον, ὅτι ὁ Bekker γράφει μιγδὰ καὶ κρυβδά. Σημαίνει ἀναμίξ, μετὰ τῶν ἄλλων θεῶν.

[7] Περίλυποι, τεθλιμμέναι ἐν τῇ ἀγαπητῇ των ψυχῇ.

[8] Ὁ ποιητὴς μετεχειρίσθη τὸ διώκειν ἐπὶ τοῦ συντόνως ἐλαύνοντος. Ὁ δὲ Εὐστάθιος παρατηρεῖ· «ἀστεία δὲ ἡ λέξις, καθότι

τῷ δὲ καὶ [1] ἵππους μὲν λῦσε κλυτὸς ἐννοσίγαιος,
ἄρματα δ' ἄμ' βωμοῖσι [2] τίθει, κατὰ λῖτα πετάσσας· [3]
αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύοπα Ζεὺς
ἕζετο, τῷ δ' ὑπὸ ποσσὶ μέγας πελεμίζετ' [4] Ὄλυμπος.
αἱ δ' οἷαι Διὸς ἀμφὶς [5] Ἀθηναίη τε καὶ Ἥρη
ἧσθην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο·
αὐτὰρ ὁ ἔγνω [6] ἦσιν ἐνὶ φρεσὶ φώνησέν τε·

«Τίφθ' οὕτω τετίησθον [7], Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην [8] καμέτην γε μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦσαι Τρῶας, τοῖσιν [9] κότον αἰνὸν ἔθεσθε.

δοκεῖ ὁ πλήττων ἵππους διώκειν αὐτούς".

[1] Ὅτι ὁ Ποσειδῶν φροντίζει περὶ τῶν ἵππων τοῦ Διός, φαίνεταί πως παράδοξον. Δύναται ὅμως νὰ ἐξηγηθῇ ὡς τις φιλοφροσύνη καὶ ἐκ τῆς ἀγάπης, ἣν ὁ θεὸς εἶχε πρὸς τοὺς ἵππους. Ὅρα Ψ 277, 584 καὶ Φ 132.

[2] Ἡ λέξις βωμὸς παραγομένη ἐκ τοῦ βαίνειν σημαίνει μὲν τὸ θυσιαστήριον, ἀλλὰ καὶ τὴν βάσιν παντὸς πράγματος, ὡς τῶν ἁρμάτων.

[3] Ἐξαπλώσας λινᾶ περικαλύμματα. Καὶ οἱ θνητοὶ περικαλύπτουσι τὰ ἅρματα διὰ πέπλων. Ὅρα Ε 194.

[4] Ἐσείετο, ἐταράσσετο ὑπὸ τοὺς πόδας καὶ διὰ τῶν ποδῶν. Παράβαλλ. Α. 530.

[5] Χωρίς, μακρὰν τοῦ Διός, ἐν ᾧ μέχρι τῆς ἐλεύσεως τούτου τοῦ θεοῦ ἐκάθηντο ἀναμὶξ μετὰ τῶν ἄλλων θεῶν.

[6] Ἐκ τῆς ἀποστάσεως, ἐν ᾗ ἐκάθισαν καὶ ἐκ τῆς σκυθρωπότητος.

[7] Μόνον ἐνταῦθα ἀπαντᾷ τὸ ῥῆμα κατ' ὀρθὴν ἔγκλισιν· ἀλλαχοῦ ὑπάρχει ἡ μετοχὴ τετιηώς καὶ τετιημένος. Διὰ τί τόσο περίλυποι εἶσθε, Ἀθηνᾶ καὶ Ἥρα;

[8] Ὁ Ὅμηρος μεταχειρίζεται τὸ θὴν πρὸς εἰρωνείαν, ὡς οἱ ἀττικοὶ τὸ δήπου, ὡς ἐν Β 276, Ν 813 καὶ ἀλλαχοῦ. Εὐφυῶς λέγει ὁ Εὐστάθιος· «Ἀστεΐζεται γὰρ τὴν λύπην ἐκείνων εἰς κόπον φράζων, ὡς εἴπερ ταλαιπώρως εἶχον καταπονηθεῖσαι τῇ κατὰ Τρώων μάχῃ, οὐ μὴ γεγονότος δῆλον ὡς ἀχθόμεναι οὕτω κάθησθε εἴποι ἂν ὁ Ζεύς».

[9] Ἡ δοτικὴ ἐξαρτᾶται ἐκ τῆς ὅλης φράσεως κότον ἔθεσθε. Σημειωτέον, ὅτι ὁ Ἀρίσταρχος ἔγραφε τοῖον κότον, ὅπερ ἔχει ἔμφασιν.

πάντως [1], σῖον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὐκ ἄν με τρέψειαν [2] ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπω.
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα [3] γυῖα,
πρὶν πόλεμόν τ' ἰδέειν πολέμοιό [4] τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν [5].
οὐκ ἄν ἐφ' ὑμετέρων ὀχέων, πληγέντε [6] κεραυνῷ,
ἆψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστίν».

Ὣς [7] ἔφαθ', αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πλησίαι αἵγ' ἧσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπεν,
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ἦρει·
Ἥρη δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
«Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν.
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
[ἀλλ' [8] ἤτοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις·

[1] Τὸ πάντως ἐπιτείνει τὴν ἑπομένην ἄρνησιν, ὡς ἐν τ 91. Τὸ δὲ οἷον αἰτιολογεῖ τὰ ἑπόμενα· διότι ἡ ἐμὴ βέβαια ὁρμὴ καὶ αἱ χεῖρες εἶναι ἀπροσπέλαστοι. Περὶ τοῦ ἄαπτος ὅρα ἐν Α 567.

[2] Δὲν θὰ δυνηθῶσι νά με τρέψωσιν εἰς φυγήν. Ὁ Ζεὺς ἀλαζονευόμενος ἐπαναλαμβάνει διὰ βραχέων τὰ πρὸ ὀλίγου λεχθέντα ἐν τῷ λόγῳ περὶ χρυσέας σειρᾶς.

[3] Τὰ εὔσαρκα, τὸ εὐτραφῆ μέλη.

[4] Ἐπανέλαβε τὸ ὄνομα ἀντὶ νὰ μεταχειρισθῇ ἀντωνυμίαν. Μέρμερα ἔργα εἶναι τὰ πολύμοχθα, τὰ φροντίδος ἄξια.

[5] Ἡ ὑπόθεσις παρελείφθη, δηλ. εἰ μετείχετε τοῦ πολέμου, ἤθελε συμβῇ τὸ ἑξῆς.

[6] Ὅρα σημ. ἐν στίχ. 378. Κτυπηθέντες διὰ τοῦ κεραυνοῦ δὲν ἦτο δυνατὸν ἐπὶ τοῦ ὀχήματός σας νὰ ἐπανέλθητε εἰς τὸν Ὄλυμπον, ὅπου κατοικοῦσιν οἱ ἀθάνατοι.

[7] Οἱ μὲν στίχοι 457—462 ἑρμηνεύονται ἐν Δ 20—25, οἱ δὲ 463—468 ἐν τῇδε τῇ ῥαψῳδίᾳ 32—37.

[8] Τοὺς ἑπομένους τρεῖς στίχους, οἵτινες ὑπάρχουσι καὶ ἐν τῇ ἀρχῇ τῆς ῥαψῳδίας, δὲν εὑρίσκουσιν οἱ

βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥτις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.]»

Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
«Ἦοῦς[1] δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέλησθα[2], βοῶπις πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι[3] παρὰ ναῦφι ποδώκεα Πηλείωνα.
[ἤματι τῷ[4] ὅτ' ἂν οἱ μὲν ἐπὶ πρύμνῃσι μάχωνται,

ἐκδόται ἐν τοῖς ἀρίστοις τῶν χειρογράφων. Ἐπειδὴ δὲ αἱ θεαὶ εἶναι λίαν ἐξωργισμέναι, οἱ κριτικοὶ ἀμφιβάλλουσιν, ὅτι αὗται ἠδύναντο οὕτω νὰ ὑποχωρήσωσιν. Τοὐναντίον ὁ Bergk, Griech. Liter. σελ. 590 καὶ ὁ Kiene, Die Komposition der Ilias σελ. 88 διισχυρίζονται, ὅτι οἱ στίχοι εἶναι ὁμηρικοί.

[1] = Ἠῶθεν· ἀπὸ αὔριον τὸ πρωὶ θὰ ἴδῃς. Τὸ καὶ μᾶλλον προσδιορίζει τὸ ὀλλύντα· γίνεται δὲ ἡ σύγκρισις μεταξὺ τοῦ παρελθόντος καὶ τοῦ μέλλοντος. Ὅρα, ὅτι δὲν λέγει ἐμέ, ἀλλὰ ὑπερμενέα Κρονίωνα μετὰ φρονήματος.

[2] Ἐὰν ἔχῃς ὄρεξιν νὰ ἴδῃς. Τοῦτο λέγει σκωπτικῶς. Μετεχειρίσθη τὴν ὀνομαστικὴν βοῶπις ἀντὶ τῆς κλητικῆς βοῶπι ἢ βοῶπι.

[3] Μέσος ἀόρ. β' τοῦ ὄρνυμι, ὅστις ἐγένετο ἐκ τοῦ ὄροσθαι· πρὶν νὰ ἐγερθῇ, πρὶν νὰ ἐφορμήσῃ πλησίον τῶν νηῶν ὁ ταχύπους υἱὸς τοῦ Πηλέως. Καὶ ἐκ τούτου δῆλον, ὅτι πάντοτε ἐν τῇ διανοίᾳ τοῦ ποιητοῦ ὑπάκειται ὁ ἥρως τοῦ ἔπους.

[4] Ἡ φράσις ἤματι τῷ λέγεται συνήθως ἐπὶ παρελθόντος, μόνον δ' ἐνταῦθα καὶ ἐν X 359 ἐπὶ τοῦ μέλλοντος. Ἕνεκα τούτου καὶ δι' ἄλλας αἰτίας οἱ Ἀλεξανδρινοὶ καὶ οἱ νεώτεροι ἀθετοῦσι τοὺς δύω στίχους. Ὁ Σχολιαστὴς λέγει· «Ἀθετοῦνται στίχοι δύο, ὅτι διὰ τοῦ ἤματι τῷ πλείονος χρόνου ὑπέρθεσιν σημαίνει, τῇ δὲ ἑξῆς ἐπὶ τὸν τάφρον παράγει τὸν Ἀχιλλέα. Καὶ ἀκριβολογεῖν οὐκ ἀναγκαῖον κατὰ τίνα καιρὸν ἐξαναστήσεται . . . τό τε ἐπιφερόμενον ψεῦδός τι ἔχει· οὐ γὰρ ἐν τῷ στείνει μάχονται. στείνει δὲ εἴωθε λέγειν τὴν στενὴν ὁδόν· λέγει δὲ τὴν ὑπὸ παλλοῦ πλήθους στενοχωρίαν». Ὄντως ὁ Πάτροκλος δὲν ἔπεσεν ἐν τῷ στείνει, ὅπερ ὁ Εὐστάθιος ἑρμηνεύει «τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους». Ἀλλ' ἡ λέξις σημαίνει καὶ στενοχωρίαν, ταλαιπωρίαν, ὡς ἑρμηνεύ-

στείνει ἐν αἰνοτάτῳ, περὶ Πατρόκλοιο θανόντος.]
ὡς γὰρ θέσφατόν[1] ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ' εἴ κε τὰ νείατα[2] πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν'' Ιαπετός[3] τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῆς Ὑπερίονος[4] Ἠελίοιο 480

ουσι τὸ ἐν Ο 426. Καὶ οὕτως ἂν ἐξηγηθῇ ἡ λέξις, πάλιν παρέχει δυσκολίαν τὸ ἐπὶ πρύμνῃσι. Νομίζομεν ὅμως, ὅτι ὁ Kiene (Die Komposition d. Ilias ἐν σελ. 40) δι' ἰσχυροῦ ἐπιχειρήματος ὑποστηρίζει τὴν γνησιότητα τῶν στίχων λέγων, ὅτι δὲν ἀναφέρονται οὗτοι εἰς τὴν κυρίαν μάχην περὶ τὸ πτῶμα τοῦ Πατρόκλου (ἐν τῷ Τ), διότι ἐν ταύτῃ δὲν ἠγέρθη ὁ υἱὸς τοῦ Πηλέως, ἀλλ' ἀναφέρονται εἰς τὰ γινόμενα ἐν Σ 148—242. Ὄντως ἐνταῦθα περὶ τὴν τάφρον καὶ παρὰ ταῖς ναυσὶ γίνεται ἡ μάχη.

[1] Ἀποφασισμένον ὑπὸ τοῦ θεοῦ, δηλ. τοῦ Διός, ἀμετάκλητον.

[2] Τὰ ἔσχατα, τὰ τελευταῖα ἄκρα· ἐννοεῖ δ' ὁ ποιητὴς τὸν δυτικώτατον χῶρον τῆς γῆς, ὡς καὶ ἐν λ 13 «ἡ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο. Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε, ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐ δέ ποτ' αὐτοὺς ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν». Ὅμως κατὰ τὸ Θ 13 ὁ Ἅδης κεῖται ἐν τῷ βάθει τῆς γῆς. Κατὰ τὸν Koch ὁ ποιητὴς καὶ ἐνταῦθα ἐννοεῖ οὐχὶ τὰ ἀκρότατα, ἀλλὰ τὰ κατώτατα στηριζόμενος ἐπὶ τοῦ Ἡσιόδου ἐν Θεογον. 727. Ἐνταῦθα ὁ ποιητὴς καίπερ λέγων πελώρης ἔσχατα γαίης ὅμως ἐννοεῖ τὰ βαθύτατα τῆς γῆς «αὐτὰρ ὕπερθεν γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης».

[3] Τὸ ὄνομα παράγουσι συνήθως ἐκ τοῦ ἰάπτω. Ὁ Ἰαπετὸς καὶ ὁ Κρόνος ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εἰκονίζονται ὡς ἀντιπρόσωποι τῶν Τιτάνων τῶν ἀποκρουσθέντων εἰς τὸν Τάρταρον.

[4] Κατὰ τὸν La Roche καὶ ἄλλους εἶναι πατρωνυμικόν, οἷα τὰ Κρονίων, Μολίων. Ἁπαντᾷ δὲ καὶ μετὰ διπλῆς πατρωνυμικῆς καταλήξεως Ἰπεριονίδης ἐν μ 176, ὡς Δευκαλίδης ἐκ τοῦ Δευκαλίων καὶ Ἠετίδης ἐκ τοῦ Ἠετίων. Συνήθως οἱ ἀρχαῖοι ἐξηγοῦσιν ὁ ὑπὲρ ἡμᾶς ἰών, ἀλλὰ τὸ ι εἶναι μακρόν, ἐν ᾧ ἐν τῷ ἰὼν βραχύ. Κατὰ μὲν τὸν La Roche σημαίνει τὸν γεννηθέντα ἐν τῷ ὕψει, ὡς τὸ θεοὶ Οὐρανίωνες, κατὰ δὲ τὸν Döderlein superiorem, ὑπέργειον ἐν ἀντιθέσει πρὸς τὰ χθόνια, ὅπερ δὲν φαίνεται ἀπίθανον.

τέρποντ' οὔτ' ἀνέμοισι [1], βαθὺς δέ τε Τάρταρος ἀμφίς [2].
οὐδ' ἦν ἔνθ' [3] ἀφίκηαι ἀλωμένη, οὐ σεῦ ἔγωγε
σκυζομένης [4] ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο».

Ὣς φάτο, τὸν δ' οὔτι προσέφη [5] λευκώλενος Ἥρη.
ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν [6].
Τρωσὶν [7] μέν ῥ' ἀέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖς
ἀσπασίη τρίλλιστος [8] ἐπήλυθε νὺξ ἐρεβεννή.

Τρώων αὖτ ἀγορὴν [9] ποιήσατο φαίδιμος Ἕκτωρ,
νόσφι νεῶν [10] ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,

[1] Ἐννοεῖ ἀναψυκτικούς, ὀροσιστικοὺς ἀνέμους, ὡς ἐν δ 567 «αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους».

[2] Πρέπει νὰ ἐννοήσωμεν τὸ ἐστί, βαθὺς δὲ Τάρταρος ὑπάρχει πέριξ.

[3] Ἐπαναλαμβάνει τὰ ἐν τοῖς ἔμπροσθεν διὰ μακρῶν εἰρημένα. Ὁ Ζεὺς λέγει, ὅτι ἀδιαφορεῖ, καὶ ἂν ἡ Ἥρα ἀπέλθῃ εἰς ἀπωτάτας χώρας καὶ μάλιστα πρὸς τοὺς ἐχθίστους αὐτῷ. Τοῦτο δηλοῖ τὴν ἐμπαθῆ ἐξέγερσιν τοῦ λέγοντος.

[4] Ἐγὼ τοὐλάχιστον διὰ σὲ ἀγαναχτοῦσαν δὲν φροντίζω, διότι δὲν ὑπάρχει ἄλλο ἀναιδέστερον ἀπὸ σέ.

[5] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἐν καιρῷ ἡ ἀποσιώπησις· οὔτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα οὔτε ἀντιλέγειν πρὸς ὀργὴν τοιαύτην».

[6] Κατὰ τὸν Koch ἡ Ἥρα διὰ θαύματος ἐβράχυνε τὴν ἡμέραν, ὡς ἐν Σ 239 «ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι». Ἀλλ' ἐνταῦθα ἐκ τῆς φράσεως τοῦ ποιητοῦ δὲν δύναται νὰ ἐξαχθῇ τοιοῦτον θαῦμα.

[7] Δὲν συνδέεται μετὰ τῶν προηγουμένων, διότι ἡ διήγησις δὲν προχωρεῖ, ἀλλὰ μόνον εἰκονίζεται ἡ αἴσθησις ἡ παραχθεῖσα εἰς τοὺς μαχομένους ἐκ τῆς δύσεως τοῦ ἡλίου.

[8] Ἐκ τοῦ τρὶς καὶ λίσσομαι, πολυλιτάνευτος, πολύευκτος. Τοιαῦτα εἶναι καὶ τὰ τρισόλβιος, τρισάθλιος, τρισκακοδαίμων, τρισμάκαρες, τρισεξώλης, τρίδουλος καὶ τὰ τοιαῦτα.

[9] Τῆς ἀγορᾶς ταύτης δὲν προηγεῖται βουλή, διότι οἱ πλείστοι τῶν γερόντων εἶχον μείνει ἐν τῇ πόλει, 517—519.

[10] Κυρίως ἔπρεπε νὰ εἴπῃ, νό-

ἐν καθαρῷ [1], ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον,
τόν ῥ' Ἕκτωρ ἀγόρευε διίφιλος [2]· ἐν δ' ἄρα χειρὶ
ἔγχος ἔχ' ἑνδεκάπηχυ [3]· πάροιθε δὲ λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης [4],
τῷ ὅ γ' ἐρεισάμενος ἔπεα Τρώεσσι μετηύδα·

«Κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
νῦν ἐφάμην [5] νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν [6].
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργείους καὶ νῆας [7] ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπα [8] τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους
λύσαθ' ὑπὲξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε [9] βόας καὶ ἴφια μῆλα

σφι τάφρου, διότι ταύτην μέχρι τοῦδε δὲν διέβη ὁ Ἕκτωρ.

[1] Ἐπίθετον ἐπέχον θέσιν οὐσιαστικοῦ, ὡς ἐν περιφαινομένῳ ε 476. Ἐννοεῖ ὁ ποιητὴς ἀνοικτὸν πεδίον κείμενον πλησίον τοῦ Ξάνθου. Ἀκριβέστερον περιγράφει τὸν τόπον τοῦτον ἐν Κ 160. Ἡ γενικὴ νεκύων ἐξαρτᾶται ἐκ τοῦ διεφαίνετο, δηλ. μεταξὺ τῶν νεκρῶν ἐφαίνετο ἡ πεδιάς.

[2] Νῦν ἐν καιρῷ ὁ Ἕκτωρ λέγεται διίφιλος.

[3] Οἱ ἀγορεύοντες ἐν χερσὶ ἔχουσι σκῆπτρον. Ἐνταῦθα ἐπειδὴ ἡ ἀγορὰ εἶναι στρατιωτική, ὁ Ἕκτωρ ἔχει μακρὸν δόρυ.

[4] Περὶ τοῦ ἐτύμου καὶ τῆς σημασίας τῆς λέξεως ὅρα ἐν Ζ 319.

[5] Τώρα ἤλπισα· ἡ κυρία ἔννοια τῆς προτάσεως κεῖται ἐν τῇ μετοχῇ. Ὁ λόγος τοῦ ἥρωος εἶναι μεστὸς ἀλαζονείας, ὡς συμβαίνει ἐν ταῖς εὐτυχίαις τῶν ἀνθρώπων.

[6] Εἴρηται περὶ τοῦ ἐπιθέτου ἐν Γ 305.

[7] Ἂν συγκριθῇ ἡ φράσις πρὸς τὴν ἐν στίχ. 498, θέλει εὑρεθῇ, ὅτι ὑπάρχει σχῆμα χιαστόν.

[8] Δόρπον εἶναι τὸ δεῖπνον, ὅπερ παρατίθεται τὴν νύκτα. Ὅρα, ὅτι ὁ Ἕκτωρ στρατηγικῶς πρῶτον φροντίζει περὶ τῶν ἵππων. Ἐκ τοῦ ἀτὰρ ἄρχεται τὸ στρατηγικὸν κέλευσμα.

[9] Μέσος ἀόριστος τῆς προστακτικῆς. Ἄλλοι γράφουσιν ἄξασθε.

χαρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε,
σῖτόν[1] τ' ἐκ μεγάρων, ἐπὶ[2] δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ'[3] ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἴκῃ,
μή πως καὶ διὰ νύκτα[4] κάρῃ κομόωντες Ἀχαιοὶ
φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης.
μὴ μὰν ἀσπουδί[5] γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥς[6] τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ[7],
βλήμενος[8] ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
νηὸς ἐπιθρώσκων, ἵνα τις στυγέῃσι καὶ[9] ἄλλος

[1] Ζεῦγμα· διότι ἐκ τοῦ οἰνίζεσθαι δέον νὰ νοηθῇ τὸ προσῆκον ῥῆμα, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «ἐν δὲ τῷ σῖτον σιγῆσαι τὸ ῥῆμα· ἐχρῆν γὰρ ἀκολούθως τῷ, οἶνον οἰνίζεσθε, καί, οἶνον οἰνίζοντο, εἰπεῖν καὶ σῖτον σιτεῖσθε, καὶ σῖτον ἐσιτοῦντο. Ὁ δὲ παρῆκε διὰ τὸ πάντῃ γνώριμον». Σῖτος ἐνταῦθα εἶναι οἱ ἄρτοι καὶ οὐχὶ τὸ ἀκατέργαστον σπόριμον.

[2] Ἐπιρρηματικῶς· ἐπὶ τούτοις, πρὸς τούτοις.

[3] Μέσφα = μέχρι· ἐκ τοῦ μέσος ἢ ἐκ τῆς μετά.

[4] Χρονικῶς, κατὰ τὸ διάστημα τῆς νυκτός, ὡς ἐν Κ 101 καὶ ο 3. Εὐφυῶς ὁ Εὐστάθιος παρατηρεῖ· »Ἄλλως μέντοι ἀστρατήγητος ἡ συμβουλή. Οὐ μᾶλλον γὰρ οἱ τὰ πυρὰ καίοντες τοὺς ἐν σκότει ὁρῶσιν, ἢ ὑπ' ἐκείνων ὁρῶνται».

[5] Ἄνευ κακοπαθείας, ἀμογητί, ὅπερ ἐπεξηγεῖται διὰ τοῦ ἔκηλοι.

[6] Ἀλλ' οὕτως, ὥστε. Βέλος ἐνταῦθα δὲν σημαίνει τὸ διὰ τοῦ τόξου βαλλόμενον, ἀλλὰ τὸ βεβλημένον μέρος, τὸ τραῦμα, ὡς ἑρμηνεύει τὴν λέξιν ὁ Ἀρίσταρχος, δηλ. ἀλλ' οὕτως, ὥστε τις ἐκ τούτου βέβαια τοῦ τραύματος καὶ ἐν τῇ πατρίδι του νὰ ἀπολαύῃ. Ὁ Ἕκτωρ ἐπιθυμεῖ, ἵνα πολλοὶ Ἀχαιοί, πρὶν ἀπέλθωσι τῆς Τροίας, τρωθῶσι καὶ φέροντες τὰ τραύματα ἐν τῇ ἰδίᾳ πατρίδι αἰσθάνωνται ἀλγηδόνας πρὸς ἀλγεινὴν ἀνάμνησιν.

[7] Ὁ ἐνεστὼς δηλοῖ διαρκῆ κατάστασιν. Σημειωτέον, ὅτι ὁ Ἀριστοφάνης ἔγραφε τὸ ῥῆμα κατ' εὐκτικήν. Τὸ πέσσω, ὅπερ σημαίνει χωνεύω, ἐνταῦθα καὶ ἀλλαχοῦ λέγεται μετὰ σαρκασμοῦ Β 237.

[8] Ἐπεξηγεῖ τὸ βέλος.

[9] Ἀντὶ νὰ εἴπῃ, τις καὶ ἄλλος.

Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν[1] πολύδακρυν Ἄρηα.
κήρυκες δ' ἀνὰ ἄστυ διίφιλοι ἀγγελλόντων
παῖδας πρωθήβας[2] πολιοκροτάφους τε γέροντας
λέξασθαι[3] περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι[4] δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων[5].
ὣδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
μῦθος δ', ὃς[6] μὲν νῦν ὑγιής, εἰρημένος ἔστω,

[1] Καὶ παρ' Ἡροδότῳ V, 71 λέγεται ἐπιφέρειν πόλεμον.

[2] Ἐκ τοῦ πρῶτος καὶ ἦβη, ὁ δὲ Παραφρασὴς ἑρμηνεύει, τοὺς πρώτης ἀκμῆς. Ὁ Εὐστάθιος τὰς ἡλικίας ὁρίζει οὑτωσί· «Βρέφος τὸ ἄρτι γεγονός, παιδίον τὸ τρεφόμενον ὑπὸ τηθῆς· παιδάριον τὸ περιπατοῦν καὶ ἤδη λέξεως ἀντιλαμβανόμενον. παιδίσκος ὁ τῆς ἐχομένης ἡλικίας. παῖς ὁ δι' ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἑξῆς ἡλικίαν πάλλακα καὶ βούπαιδα καὶ ἀντίπαιδα καὶ μελλέφηβον καλοῦσι. Τοὺς δὲ μετ' αὐτοὺς ἐφήβους Κυρηναῖοι μὲν τριακάπους καλοῦσι, Κρῆτες δὲ ἀποδρόμους. . .». Πολιοκρόταφοι δὲ λέγονται οἱ ἀρχόμενοι πολιοῦσθαι, διότι πρῶτον αἱ τρίχες τῶν κροτάφων γίνονται λευκαί.

[3] Νὰ στρατοπεδεύσωσι πρὸς φυλακήν. Ἡ δὲ φράσις περὶ ἄστυ ἐξηγεῖται ἀκριβέστερον διὰ τῆς ἐπὶ πύργων, οἵτινες λέγονται θεόδμητοι, διότι τὸ τεῖχος τοῦ Ἰλίου ἠγέρθη ὑπὸ θεῶν.

[4] Αἱ τρυφεραί, αἱ λεπτοφυεῖς. Μόνον τὸν τύπον ἔχει συγκριτικοῦ, οὐχὶ δὲ καὶ τὴν σημασίαν, ὡς καὶ τὰ ὀρέστερος καὶ ἀγρότερος.

[5] Ὁ Ἕκτωρ ἐν τῇ ἀλαζονείᾳ αὐτοῦ δεικνύει πρόνοιαν.

[6] Οἱ ἀρχαῖοι ἠθέτουν δύω στίχους, ὡς μανθάνομεν παρὰ τοῦ Σχολιαστοῦ· «Ἀθετοῦνται δύο στίχοι, διότι τῇ ἑξῆς οὐδὲν λέγει, καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ παρείληπται, ὃς μὲν ἀντὶ τοῦ ὁ μέν. Ὁ δὲ νοῦς ἐστι τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερον συντετέλεσαί μοι ὁ λόγος καὶ οὐδὲν παραλέλειπται, περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω». Καὶ οἱ νεώτεροι ἐντεῦθεν μέχρι τέλους τοῦ λόγου τοῦ Ἕκτορος εὑρίσκουσι πολλὰς δυσκολίας. Πρὸς δὲ οἱ στίχοι 538—541 ἀπαντῶσι καὶ ἐν Ν 825—28 σχεδὸν ὅμοιοι. Τὸ ὑγιὴς εἶναι ἐκ τῶν ἅπαξ εἰρημένων καὶ σημαίνει ὠφέλιμος, χρήσιμος, δηλ. ὁ λόγος (τὸ κέλευσμα), ὁ ὁποῖος

τὸν δ'[1] ἠοῦς Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
εὔχομαι[2] ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους[3].
[οὓς[4] κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.]
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ[5] φυλάξομεν ἡμέας αὐτούς,

τώρα μὲν εἶναι χρήσιμος, ἐλέχθη, ἐτελείωσεν. Ὁ στίχος οὗτος εἶναι ἀνακεφαλαιωτικὸς πρὸς μετάβασιν.

[1] Ποιεῖ ἀντίθεσιν πρὸς τὸ ὃς μέν, δηλ. τὸν δὲ ἄλλον λόγον, τὸ δὲ ἄλλο κέλευσμα. Τὸ δὲ ἠοῦς κατὰ δύω τρόπους δυνάμεθα νὰ ἑρμηνεύσωμεν· ἢ τὸν δὲ ἄλλον λόγον θὰ εἴπω τὴν ἑπομένην πρωΐαν, ἢ τὸν ἄλλον τῆς ἑπομένης πρωΐας (ὅστις ἀνήκει εἰς τὴν προσεχῆ πρωΐαν) θὰ εἴπω τώρα, ὅπερ θεωροῦμεν ὀρθότερον, καὶ διότι αἴρεται ἡ δυσκολία, ἣν πρὸ ὀλίγου εἴδομεν παρὰ τῷ Σχολιαστῇ, καὶ διότι νῦν κελεύει ὁ Ἕκτωρ ἐξόπλισιν (530), ἥτις ἀνήκει εἰς τὴν ἑπομένην πρωΐαν.

[2] Ὁ Ζηνόδοτος ἔγραφεν ἔλπομαι εὐχόμενος, ὅπερ δὲν εἶναι πιθανόν. Ἡ μὲν δοτικὴ Διὶ ἐξαρτᾶται ἐκ τοῦ εὔχομαι, τὸ δὲ ἀπαρέμφατον ἐξελάαν ἐκ τοῦ ἐλπόμενος. Εὔχομαι καὶ ἐλπίζω εἰς τὸν Δία καὶ εἰς τοὺς ἄλλους θεούς, ὅτι θὰ ἀποδιώξω ἀπὸ ἐδῶ τοὺς κύνας.

[3] Κατὰ τὸν Döderlein, ᾧ ἀκολουθεῖ καὶ ὁ Koch, εἶναι σχῆμα κατὰ πρόληψιν, ὥστε κήρεσσι φορεῖσθαι. Τοῦτο ἐξηγεῖ ὁ Ὅμηρος ἐν Β 302· «οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι».

[4] Ὁ στίχος οὗτος εἶναι ἐτυμολογικὴ ἐξήγησις τῆς προηγουμένης λέξεως καὶ διὰ τοῦτο ὑπὸ τῶν ἀρχαίων κριτικῶν ἠθετεῖτο, ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Ἀθετεῖται, ὅτι περισσός· ἐν γὰρ τῷ κηρεσσιφορήτους τὸ αὐτὸ συντόμως εἴρηκεν. Ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν».

[5] Κατὰ τὸ διάστημα τῆς νυκτός, ὡς ἐπ' ἤματι ἐν Κ 48, Ν 234 καὶ ἀλλαχοῦ. Ἀντὶ τοῦ ἡμέας αὐτοὺς ὁ Heyne εἴκαζε, ὅτι πρέπει νὰ γραφῇ ἡμέες αὐτοί, δηλ. οἱ ἴδιοι φυλάξομεν τοὺς πολεμίους, ὅπερ δὲν φαίνεται πιθανόν· διότι νῦν τὸ πρῶτον ὁ Ἕκτωρ μένει ἔξω τῶν τειχῶν τῆς πόλεως καὶ φοβεῖται νυκτερινὴν ἐπίθεσιν τῶν Ἀχαιῶν, ὡς ἐν στίχ. 521. Ἄλλως ὁ ποιητὴς προπαρασκευάζει τὰ ἐν τῷ Κ. Ὁ Koch νομίζει, ὅτι τὸ ἡμέας αὐτοὺς ἐλέχθη ἐν ἀντιθέσει πρὸς τὰς γυναῖκας καὶ τὰ τέκνα, ἅπερ ἐφύλασσον κατὰ τὰς ἄλλας νύκτας. Ἡμεῖς νομίζομεν, ὅτι γίνεται ἀντίθεσις πρὸς τοὺς Ἀχαιούς, δηλ. αὔριον θὰ φονεύσωμεν πολλοὺς Ἀχαιούς, τὴν νύκτα ὅμως ταύ-

πρῶϊ δ' ὑπηοῖοι[1] σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἴσομαι εἴ κέ μ' ὁ Τυδείδης κρατερὸς Διομήδης[2]
πὰρ νηῶν πρὸς τεῖχος[3] ἀπώσεται, ἦ κεν ἐγὼ τὸν
χαλκῷ δηώσας ἔναρα βροτόεντα[4] φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείσεται[5], εἴ κ' ἐμὸν ἔγχος
μείνῃ ἐπερχόμενον[6]· ἀλλ' ἐν πρώτοισιν, ὀΐω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι[7],
ἠελίου ἀνιόντος ἐς αὔριον[8]. εἰ γὰρ ἐγὼν ὡς
εἴην ἀθάνατος καὶ ἀγήρως[9] ἤματα πάντα,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε[10] κακὸν φέρει Ἀργείοισιν.»

την πρέπει νὰ φυλαχθῶμεν οἱ ἴδιοι.

[1] Προσδιορίζει ἀκριβέστερον τὸ πρῶϊ, ἑωθινοί, μὲ τὰ χαράγματα. Τὸ θωρήσσεσθαι συντάσσεται καὶ ἁπλῇ δοτικῇ, ἄνευ τῆς σύν.

[2] Ὀνομάζει τὸν Διομήδη, διότι οὗτος πρὸ ὀλίγου διεκρίθη ὡς ὁ ἐξοχώτατος τῶν Ἀχαιῶν.

[3] Ἐννοεῖ τὸ τεῖχος τῆς πόλεως καὶ οὐχὶ τῶν νηῶν.

[4] Καθημαγμένα, αἱματωμένα λάφυρα.

[5] Αὔριον θέλει μάθει, θέλει γνωρίσει τὴν ἀνδρείαν του.

[6] Ὁ ποιητὴς μεταχειρίζεται τὸ ἐπέρχεσθαι ἐπὶ τοῦ ἔγχους, ὡσεὶ τοῦτο ἦτο ἔμψυχον. Ὁ Ζηνόδοτος τοὺς τρεῖς στίχους 535, 536 καὶ 537 οὐδόλως ἔγραφε, διότι παραβαλλόμενοι πρὸς τοὺς τρεῖς ἑπομένους περιέχουσιν ἔννοιαν οὐχὶ πολὺ διάφορον. Ὁ δὲ Ἀρίσταρχος ἐνέκρινε τοὺς δευτέρους ὡς καυχηματικωτέρους.

[7] Ἐννοεῖται τὸ κείσονται.

[8] Καὶ εἰς τοῦτο προσκρούουσιν οἱ ἑρμηνευταί, ὅτι κεῖται ἐς αὔριον ἀντὶ αὔριον. Ὁ Εὐστάθιος ἑρμηνεύει· «ἤγουν αὔριον ἕωθεν ἅμα ἡλίου ἀνατολῇ».

[9] Εἰς τὴν ἀθανασίαν ἀνήκει ἡ αἰωνία νεότης· εὔχομαι οὕτως ἐγὼ νὰ ἦμαι ἀθάνατος καὶ ἀγήρως καθ' ὅλον τὸν χρόνον καὶ νὰ τιμῶμαι, ὡς τιμᾶται ἡ Ἀθηνᾶ καὶ ὁ Ἀπόλλων, καθὼς τώρα ἡ ἑπομένη ἡμέρα φέρει κακὸν εἰς τοὺς Ἀργείους. Ὁ Ἕκτωρ οὕτως εἶναι πεπεισμένος περὶ τῶν συμφορῶν τῶν Ἀργείων, ὥστε εὔχεται νὰ ἦτο ἐξ ἴσου ἀληθὴς ἡ ἀθανασία καὶ ἡ τιμὴ αὐτοῦ.

[10] Τὸ ἥδε ἡμέρα λέγεται πάντοτε περὶ τῆς παρούσης ἡμέρας, ἐνταῦθα δὲ περὶ τῆς προσεχοῦς.

Ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες κελάδησαν [1].
οἱ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
δῆσαν δ' ἱμάντεσσι [2] παρ' ἅρμασιν οἷσιν ἕκαστος·
ἐκ πόλιος δ' ἄξοντο βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.
[ἔρδον [3] δ' ἀθανάτοισι τεληέσσας ἑκατόμβας,]
κνίσην [4] δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω
[ἡδεῖαν· τῆς δ' οὔ τι θεοὶ μάκαρες δατέοντο [5],
οὐδ' ἔθελον· μάλα γάρ σφιν ἀπήχθετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.]
Οἱ δὲ μέγα φρονέοντες [6] ἐπὶ πτολέμοιο γεφύρας
εἵατο παννύχιοι, πυρὰ δέ σφισι καίετο πολλά.
ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν [7] ἀμφὶ σελήνην

Ἡ κακὴ χρῆσις ἐξηγεῖται, ἂν σιν αἰτίας, ὅπως ἀθετήσωσιν· ὑποτεθῇ, ὅτι ἡ φράσις προσετέθη ἐνταῦθα ἐκ τοῦ N 828, ὅπου τὸ ἡμέρη ἥδε ἔχει καλῶς.

[1] Θορυβωδῶς ἐπεδοκίμασαν· εἶναι ἐντονώτερον τοῦ ἐπίαχον, Η 403.

[2] Τὸ ι εἶναι ἐνταῦθα μακρόν, ἐνῷ συνηθέστερον ἁπαντᾷ βραχύ, ἀλλ' ὡς μακρὸν εὕρηται καὶ ἐν Κ 475, Ψ 363, φ 46 καὶ ψ 201. Ἔδεσαν τοὺς ἵππους διὰ λωρίων πλησίον τῶν ἁρμάτων.

[3] Οἱ στίχοι 548 καὶ 550—52 ἐν οὐδενὶ τῶν χειρογράφων ὑπάρχουσιν, ἀλλὰ προσετέθησαν τὸ πρῶτον ὑπὸ τοῦ Barnes ἐκ τοῦ δευτέρου Ἀλκιβιάδου σελ. 249 Δ. Ἀλλ' οἱ Ἀλεξανδρινοὶ τούτους ἐξήλειφον καὶ οἱ νεώτεροι ἔχουπρῶτον τοῖς θεοῖς τοῦ φωτός, τοῖς Ὀλυμπίοις, δὲν προσφέρονται θυσίαι ἐν καιρῷ νυκτὸς καὶ δεύτερον ἢ πρὸς τοὺς Τρῶας δυσμένεια τῶν θεῶν ἄγαν ἰσχυρῶς εἰκονίζεται, ὅπερ ἥκιστα ἁρμόζει ἐνταῦθα.

[4] Ἐὰν ἐξαλειφθῶσιν οἱ εἰρημένοι στίχοι, κνίση δὲν εἶναι ἡ τῶν θυμάτων, ἀλλὰ σημαίνει μόνον καπνόν.

[5] Δὲν ἀπένεμον ἑαυτοῖς, δὲν ἐδέχοντο.

[6] Μεγαλοφρονοῦντες διὰ τὴν νίκην. Ἐνταῦθα φαίνεται, ὅτι πολέμοιο γεφύρας λέγει τὰς διόδους τῶν φαλάγγων, ὧν διαλυθεισῶν οἱ Τρῶες ἔμενον ἐν ταῖς διόδοις. Ὅρα καὶ Δ 371.

[7] Οἱ ἀρχαῖοι εὗρον δυσκολίαν

φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ·
[ἔκ[1] τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες[2] ἄκροι
καὶ νάπαι[3]· οὐρανόθεν δ' ἄρ' ὑπερράγη[4] ἄσπετος αἰθήρ,]
πάντα[5] δέ τ' εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν[6]·
τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων 560
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ

ἐν τῇ παραβολῇ ταύτῃ· διότι ἐν τῇ πανσελήνῳ οἱ ἀστέρες δὲν εἶναι ὁρατοί. Ἀλλὰ τὸ ἐπίθετον ἐνταῦθα εἶναι κοσμητικόν, ὡς ἐξηγεῖ ὁ Ἀρίσταρχος· «Ἀρίσταρχος τὴν κατὰ φύσιν λαμπρὰν λέγει, κἂν μὴ πλήθουσα ᾖ· εἰ γὰρ πληροσέληνος ἦν, ἐκέκρυπτο ἂν μᾶλλον τὰ ἄστρα».

[1] Οἱ δύω οὗτοι στίχοι ὑπὸ μὲν τοῦ Ἀριστοφάνους ἠθετοῦντο, ἐν δὲ τῇ ἐκδόσει τοῦ Ζηνοδότου οὐδὲ ἐφέροντο. Προσετέθησαν ἐκ τοῦ Π 299—300 οὐχὶ προσηκόντως. Σημαίνει δὲ ἐξεφάνησαν, ἔγειναν φανεραί.

[2] Τὸ ἔτυμον τῆς λέξεως εἶναι ἀμφίβολον. Κατὰ μὲν τοὺς παλαιοὺς ἐγίνετο ἐκ τῆς μετοχῆς προϊών, κατὰ δὲ τὸν Döderlein ἐκ τῆς περάων, ὅπερ ἀπίθανον. Σημαίνει δὲ τὰ ὑψώματα, τὰς ἐξοχὰς τῶν ὀρέων.

[3] Ὁ Döderlein ἀνάγει τὸ ὄνομα εἰς τὸ γνάμπτω, γναμπτός, γόνυ λέγων, ὅτι τὸ γ ἀπεκόπη ὡς ἐν τοῖς νόος, γνῶναι, notus, gnotus. Σημαίνει φάραγγας, κοιλάδας.

[4] Κατὰ λέξιν· ἀπὸ τοῦ οὐρανοῦ, ὡς ἦτο ἐπόμενον, ἐξέσπασε μεγάλη αἰθρία. Τοιαύτη ὅμως φράσις ἠδύνατο νὰ ἔχῃ καλῶς, ἂν ὁ ποιητὴς ἔλεγε πρότερον περὶ νεφέλης ὑπαρχούσης ἐν τῷ οὐρανῷ, ὡς ὄντως λέγεται ἐν Π 298, ὅθεν ἐλήφθη τὸ χωρίον.

[5] Προτάσσει τὴν λέξιν πρὸς ἔμφασιν· ὅλα δὲ τὰ ἄστρα φαίνονται.

[6] Λέγει, ὅτι χαίρει ὁ ποιμήν, διότι οὗτος πρὸ πάντων εἶναι ἐκτεθειμένος εἰς τὴν ἀτμόσφαιραν. Ὁ δὲ Εὐστάθιος παρατηρεῖ· «ὥσπερ ἀηδὲς ἡμέρα νυκτίμορφος, οὕτως ἡδὺ νὺξ ἡμεροφαής».

[7] Ἐκ τοῦ χωρίου τούτου γίνεται δῆλον, ὅτι οἱ Τρῶες μετὰ τῶν ἐπικούρων ἦσαν 50,000. Ἐπειδὴ δὲ οἱ πρῶτοι ἠριθμοῦντο 12,000 Β 123, ὑπολείπονται 38,000 ἐπίκουροι. Σημειωτέον, ὅτι πρὸ τῆς ἀριθμήσεως ταύτης ἐφονεύθησαν οὐχὶ ὀλίγοι ἐν ταῖς ἡγουμέναις μάχαις.

εἵατο πεντήκοντα σέλαι [1] πυρὸς αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας,
ἑσταότες παρ' ὄχεσφιν, ἐύθρονον Ἠῶ μίμνον. 565

[1] Σέλαι καὶ οὐχὶ σέλα, ὥς τινες γράφουσι, διότι τὸ ι ὑπὸ βραχὺ φωνῆεν δὲν δύναται νὰ ὑπογραφῇ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Ι ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἀγαμέμνονος συμβουλεύσαντος τοῖς Ἕλλησι φυγεῖν ἵστανται τὴν ἐναντίαν ἀποφαινόμενοι γνώμην Διομήδης καὶ Νέστωρ. Συμβουλεύσαντος δὲ Νέστορος πρὸς Ἀχιλλέα πέμπονται πρέσβεις, καὶ δεηθεῖσιν αὐτοῖς ἀντεῖπεν Ἀχιλλεύς· οἱ δὲ ἀπαγγέλλουσι. Καὶ μετὰ ταῦτα εἰς ὕπνον τρέπονται.

ΙΛΙΑΔΟΣ Ι.

ΠΡΕΣΒΕΙΑ ΠΡΟΣ ΑΧΙΛΛΕΑ. ΛΙΤΑΙ [1].

Ὡς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιούς [2]

[1] Ἡ ῥαψῳδία αὕτη ἔχει πολλὴν ῥητορικὴν δύναμιν, ὡς παρατηρεῖ ὁ Εὐστάθιος. «Πάνυ δ' ἐναγώνιος ἡ ῥαψῳδία καὶ πολλὴν ἔχουσα δύναμιν ῥητορείας δικανικῆς, ἐν οἷς οἱ μὲν πρέσβεις λέγουσιν, ὁ δὲ Ἀχιλλεὺς ἀντιλέγει, καὶ εἴπέρ που ἀλλαχοῦ, ἐνταῦθα τὴν ἐν λόγῳ πολιτικῷ ῥητορικὴν Ὅμηρος ἐπιδείκνυται». Δὲν ἐπεδοκιμάσθη δὲ ἡ γνώμη τοῦ Lachmann λέγοντος, ὅτι αὕτη φέρει τὸν τύπον μιμήσεως. Ὁ μέγας ἱστορικὸς Grote, ὅστις διεῖλε τὴν Ἰλιάδα εἰς δύω μικρότερα ἔπη, τὴν Ἀχιλληΐδα ἢ Ἀχίλλειαν καί τινα μικροτέραν Ἰλιάδα, θεωρεῖ τὴν προκειμένην ῥαψῳδίαν ὡς μεταγενεστέραν προσθήκην, διότι ἡ ἀποτυχία τῆς πρεσβεύσεως εἰκονίζουσα τὸν Ἀχιλλέα ὡς ἀδιάλλακτον ταπεινοῖ τὸν χαρακτῆρα αὐτοῦ. Ἀλλ', ὡς φαίνεται, ἐν τῷ ἡρωικῷ αἰῶνι ἡ μεγίστη ἀνδρεία συνεδέετο μετὰ τῆς μεγίστης ἀκαμψίας, ὡς μαρτυρεῖ ὁ περὶ Μελεάγρου μῦθος Ι 550. Ὅρα Ἰσορ. τῶν ὁμηρ. ἐπῶν σελ. 275. Στενῶς δὲ συνδέεται ἡ ῥαψῳδία οὐ μόνον μετὰ τῆς πρώτης καὶ μετὰ πάντων τῶν προηγουμένων διὰ τῆς δεινῆς θέσεως τῶν πραγμάτων, ἀλλὰ καὶ μετὰ τῶν ἑπομένων, ὡς Λ 666—668 ἐν παραβολ. πρὸς Ι 650, Σ 448, Τ 140. Οἱ κριτικοὶ εὑρίσκουσι καί τινας ἀντιφάσεις, ἀλλ' εἶναι προϊόντα παρανοήσεως, ὡς νομίζομεν, π.χ. ὁ Ἀχιλλεὺς λέγει τῷ Πατρόκλῳ ἐν Λ 608 «νῦν οἵῳ περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς λισσομένους». Κατὰ τοὺς κριτικοὺς ταῦτα δὲν ἠδύνατο νὰ εἴπῃ ὁ Ἀχιλλεύς, ἂν προηγεῖτο ἡ πρέσβευσις. Εἴπομεν ὅμως ἐν τῇ Ἰστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 275, ὅτι ὁ Πηλείδης περιέμενε μείζονα ταπείνωσιν τῶν Ἀχαιῶν, διότι ἄλλως ἤθελεν ἀπέλθει τῆς Τροίας. Τοὐναντίον ἐκ τῆς πρώτης πρεσβεύσεως κρίνων ἠδύνατο νὰ περιμένῃ καὶ δευτέραν. Ὅρα Kiene, Die Komp. d. Ilias d. Homer σελ. 326.

[2] Ὁ ποιητὴς ἐπανέρχεται εἰς

θεσπεσίη [1] ἔχε φύζα, φόβου κρυόεντες [2] ἑταίρῃ,
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο [3] πάντες ἄριστοι.
ὡς δ' ἄνεμοι δύο [4] πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης [5] καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν [6] ἄητον,
ἐλθόντ' ἐξαπίνης· ἄμυδις [7] δέ τε κῦμα κελαινὸν
κορθύεται [8], πολλὸν δὲ παρὲξ ἄλα φῦκος ἔχευαν [9].

τὴν διήγησιν τὴν διακοπεῖσαν ἐν Θ σίχ. 487. Κατ' ἔννοιαν ἡ προηγουμένη πρότασις ἔχει λόγον πρὸς τήνδε, ὃν λόγον ἔχει ἡ ἐνέργεια πρὸς τὸ πάθος, ὡς ὑποδεικνύει ὁ Σχολιαστὴς λέγων· «Οἱ μὲν γὰρ Τρῶες τὰς φυλακὰς εἶχον, ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτός, οἱ δὲ Ἕλληνες εἴχοντο ὑπὸ τοῦ δέους».

[1] Τὸ ἐπίθετον δύναται κατὰ δύω τρόπους νὰ ἐξηγηθῇ, ἢ σφοδρὰ ἢ βουλήσει τῶν θεῶν γεγενημένη. Τὸ δὲ φύζα ἐγένετο ἐκ τοῦ φυγ-ία, ὡς τὸ μᾶζα ἐκ τοῦ μαγ-ία, καὶ μείζων ἐκ τοῦ μεγίων. Ἡ λέξις ἀλλαχοῦ μὲν σημαίνει τὴν μετὰ δέους φυγήν, ἐνταῦθα δὲ τὴν ἔκπληξιν. Πρῶτον ἐκπλήσσεταί τις καὶ εἶτα φεύγει.

[2] Κρυόεις = κατάψυχρος, φρικτός. Ὁ μὲν φοβούμενος εἶναι ψυχρός, ὁ δὲ ἐλπίζων θερμός. Καὶ ἡμεῖς λέγομεν εἶμαι κρύος ἢ ζεστὸς ἐπὶ φόβου ἢ ἐλπίδος.

[3] Τὸ μὲν βέβλημαι λέγεται ἐπὶ τοῦ σώματος, τὸ βεβόλημαι ἐπὶ τῆς ψυχῆς, ὡς παρετήρησεν ὁ Ἀρίσταρχος. Ὅρα, ὅτι ὁ ποιητὴς τὸ πένθος εἰκάζει πρὸς βέλος, ὅπερ πλήσσει τὴν ψυχήν.

[4] Τὰ δύω πάθη τῶν Ἀχαιῶν, τὴν ἔκπληξιν καὶ τὴν λύπην, παραβάλλει πρὸς δύω ἀνέμους.

[5] Κατὰ τὰ χειρόγραφα Βορέης, ἄλλοι ὅμως γράφουσι Βορρῆς. Ἐκεῖνο εἶναι τὸ ὀρθόν, ἀλλὰ πρέπει νὰ ἀναγνωσθῇ δισυλλάβως, ὡς σπονδεῖος, ὡς καὶ ἐν Ψ 195.

[6] Ὁ ποιητὴς λέγων Θρᾴκην ἐννοεῖ πᾶσαν τὴν βόρειον χώραν τοῦ αἰγαίου πελάγους. Ἡ Θρᾴκη εἶναι ἡ ἕδρα τοῦ Βορρᾶ καὶ τοῦ Ζεφύρου, ὡς γίνεται δῆλον ἐν Ψ 229.

[7] Ἐκ τοῦ ἅμα, ψιλοῦται δὲ αἰολικῶς. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἅμα τῷ πνεῦσαι τοὺς ἀνέμους». Τὸ δὲ κελαινὸν ληπτέον κατηγορηματικῶς, δηλ. ἐξογκοῦται, ὥστε νὰ γείνῃ μαῦρον.

[8] Φαίνεται, ὅτι παράγεται ἐκ τῆς ῥίζης καρ, ἐξ ἧς κάρα, κορυφή, κόρυς.

[9] Ἐμπειρικὸς ἀόριστος. Ὑποκείμενον τοῦ ῥήματος εἶναι οἱ ἄνεμοι.

ὣς ἐδαΐζετο [1] θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.

Ἀτρεΐδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ
φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων
κλήδην [2] εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πνεῖτο [3].
ἵζον δ' εἰν ἀγορῇ τετιηότες· ἆν δ' Ἀγαμέμνων
ἵστατο δακρυχέων ὥς τε κρήνη μελάνυδρος [4],
ἥ τε κατ' αἰγίλιπος [5] πέτρης δνοφερὸν χέει ὕδωρ·
ὣς ὁ βαρὺ στενάχων [6] ἔπε' Ἀργείοισι μετηύδα·

[1] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἐταράσσετο, διεκόπτετο».

[2] Συνήθως οἱ κήρυκες ἐκάλουν τοὺς λαοὺς εἰς τὴν ἀγορὰν μεγάλῃ τῇ φωνῇ. Ἐπειδὴ δὲ οἱ πολέμιοι ἐγγὺς στρατοπεδεύουσιν, ὁ Ἀτρεΐδης κελεύει τοῖς κήρυξιν, ἵνα καλῶσι τοὺς Ἀχαιοὺς κατ' ὄνομα. Καλοῦνται δὲ οὐχὶ οἱ γέροντες εἰς τὴν βουλήν, ἀλλὰ σύμπας ὁ λαὸς εἰς ἀγοράν. Πρέπει ὅμως νὰ ὑπολάβωμεν, ὅτι οἱ κήρυκες ἀπέτεινον τὸν λόγον εἰς τοὺς ἡγήτορας. Ἡ λέξις εὕρηται μόνον ἐνταῦθα, ἀλλαχοῦ ἅπαντᾷ ἐξονομακλήδην.

[3] Δηλαδὴ κικλήσκειν, ὅπερ ὑποδηλοῖ τὴν ταπείνωσιν τοῦ Ἀγαμέμνονος.

[4] Συνήθως ἑρμηνεύεται πολύυδρος ἢ βαθεῖα, ὡς λέγει ὁ Σχολιαστής· «Φύσει γὰρ μέλαν τὸ ὕδωρ, ἀλλὰ λαμπρύνεσθαι ταῖς ἡλιακαῖς αὐγαῖς, ἢ βαθεῖα· τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος.» Σημειωτέον, ὅτι ὁ Ὅμηρος τὸ ἐπίθετον μέλας μεταχειρίζεται ἐν εὐρυτέρᾳ σημασίᾳ, διότι λέγει οἶνος, αἷμα, ὀρῦς, γῇ μέλαινα.

[5] Τὸ ἔτυμον τῆς λέξεως ἀμφίβολον· διότι οἱ πλεῖστοι ἐθεώρουν ὡς σύνθετον ἐκ τοῦ αἴξ καὶ λείπω ἔχοντες ἐν ὄψει τὸν Εὐστάθιον λέγοντα· «Αἰγίλιψ δὲ πέτρα, ἥτις διὰ τὸ τοῦ ὕψους δυσανάβατον καὶ ὑπὸ αἰγὸς λείπεται, ἀλτικοῦ ζώου καὶ πετροβατικοῦ». Κατὰ τὸν Düntzer ὅμως παράγεται ἐκ τῆς ῥίζης γλι, γλιβ, ἥτις καὶ ἐν τῷ λισσὸς (λεῖος) ὑπάρχει. Οὕτω σημαίνει τὸν ἀπόκρημνον ἢ τὸν ὀλισθηρόν. Ὅρα Ebeling ἐν λ. Τὸ δὲ δνοφερὸς παραγόμενον ἐκ τοῦ δνόφος (γνόφος, κνέφας, νέφος) σημαίνει σκοτεινός, μαῦρος.

[6] Οἱ ἑρμηνευταὶ περιέμενον ἐνταῦθα ἀντὶ τοῦ βαρὺ στενάχων τὸ δακρυχέων, ὅπερ καὶ εἰσήγαγεν ὁ Düntzer εἰς τὸ κείμενον· διότι δὲν ἁρμόζει εἰς τὴν προηγουμένην παραβολήν. Νομίζομεν ὅμως, ὅτι τὸ βαρὺ στενάχων

«Ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ζεύς [1] με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω [2] που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν».

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν [3] ἐγένοντο σιωπῇ.
δὴν δ' ἄνεω ἦσαν τετιηότες [4] υἷες Ἀχαιῶν·

προεκλήθη ἐκ τῆς φράσεως αἰγίλιπος πέτρης· διότι τὸ ἐξ ἀποκρήμνου βράχου ῥέον ὕδωρ ποιεῖ ψόφον, πρὸς ὃν ὁ ποιητὴς παραβάλλει τοὺς στεναγμοὺς τοῦ Ἀγαμέμνονος.

[1] Οἱ στίχοι 18—25 ἐρμηνεύονται ἐν Β 111 καὶ ἑξῆς. Σημειωτέον, ὅτι ἐκεῖ λέγει ταῦτα ὁ Ἀγαμέμνων πειρώμενος, ἐνταῦθα δὲ σπουδάζων, ὃ ψέγει ὁ Lachmann· διότι ὁ ποιητὴς δὲν ἠδύνατο νὰ παρῳδήσῃ ἑαυτόν. Ἀλλ' αἱ ἐπαναλήψεις τῶν αὐτῶν φράσεων εἶναι συνηθέσταται τῷ ποιητῇ. Ὅρα Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 312.

[2] Ἐν τῇ ἐκδόσει τοῦ Ζηνοδότου οἱ στίχοι 23, 24 καὶ 25 δὲν ἐφέροντο καὶ ὑπὸ τοῦ Ἀριστοφάνους ἠθετοῦντο· διότι ἁρμόζουσι μᾶλλον τῇ ἀποπείρᾳ. Τούτοις ἀκολουθεῖ καὶ ὁ Ameis.

[3] Ἄξιον σημειώσεως, ὅτι ἐν μὲν τῇ δευτέρᾳ ῥαψῳδίᾳ, ὅτε ὁ Ἀγαμέμνων ἐπειρᾶτο τῶν Ἀχαιῶν, οὗτοι ἠκολούθησαν τῇ συμβουλῇ τοῦ ἡγεμόνος, νῦν δὲ διστάζουσι. Ἴσως ἐνταῦθα δὲν φεύγουσιν οἱ Ἀχαιοί, ὅπως μὴ πάθωσι τὸ αὐτό, ὡς παρετήρησεν ὁ Σχολιαστής· «Οὔτε οὖν μένοντες χρηστὴν εἶχον ἐλπίδα, οὔτε φεύγειν εὐκλεὲς ἡγοῦντο. Ἅμα δὲ καὶ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύουσι τὶς ὁ νοῦς τοῦ λέγοντος».

[4] Ἡ μετοχὴ αἰτιολογεῖ τὴν προηγουμένην φράσιν· ἐπὶ πολὺν

ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης [1].

«Ἀτρεΐδη, σοὶ [2] πρῶτα μαχήσομαι ἀφραδέοντι,
ἦ [3] θέμις ἐστίν, ἄναξ, ἀγορῇ [4]· σὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν [5] μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν [6] ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα [7]
ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
σοὶ δὲ διάνδιχα [8] δῶκε Κρόνου παῖς ἀγκυλομήτεω
σκήπτρῳ [9] μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων,

χρόνον ἦσαν σιωπηλοί, διότι ἦσαν τεθλιμμένοι.

[1] Ἐκ πάντων τῶν ἡρώων ὁ Διομήδης ἀντιλέγει εἰς τὸν Ἀγαμέμνονα, διότι οὗτος πρὸ ὀλίγου μόνος ἐτόλμησε νὰ ἀντεπεξέλθῃ κατὰ τοῦ Ἕκτορος.

[2] Διὰ τῆς φράσεως ταύτης ὑποδηλοῖ, ὅτι καὶ τοῖς ἄλλοις μέμφεται, διότι σιωπῶντες συναινοῦσιν, ὅπως φύγωσιν. Τὸ μάχεσθαι καὶ ἀλλαχοῦ σημαίνει ἐρίζειν, ἀντιλέγειν, φιλονεικεῖν, ὡς Β 377 καὶ Ζ 329. Κατὰ σοῦ πρῶτον θὰ ἐναντιωθῶ, διότι λέγεις ἀνοησίας.

[3] Καθ' ἕλξιν συνεφώνησε πρὸς τὸ κατηγορούμενον θέμις· ὅπερ εἶναι δίκαιον, διὰ τοῦ ἔθους ἐπιτετραμμένον.

[4] Τοπικὴ δοτική. Ἐν τῇ ἀγορᾷ ἕκαστος τῶν ἀρίστων ἠδύνατο ἐλευθέρως νὰ εἴπῃ τὴν γνώμην αὐτοῦ.

[5] Ἐταπείνωσας τὴν ἀνδρείαν μου, ὕβρισάς με ὡς ἄνανδρον, ὅπερ ἐπεξηγεῖ διὰ τοῦ φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. Ὁ Ἀγαμέμνων ὕβρισε τὸν Διομήδη ἐν Δ 370 καὶ ἐξῆς, ὅτε ὁ ὑβρισθεὶς ἐστιώπησε. Νῦν δέ, ἀφ' οὗ ὁ μὲν Διομήδης ἠρίστευσεν, ὁ δὲ Ἀγαμέμνων προὔτεινε φυγήν, ἦτο καιρός, ἵνα ὁ ὑβρισθεὶς ἐλέγξῃ τὸν ὑβρίσαντα. Ὁ μὲν ἔχει τὴν ἀπόδοσιν αὐτοῦ εἰς τὸ σοὶ δέ..

[6] Ἐννοεῖται τὸ ἐμέ.

[7] Ὁ πληθυντικὸς ἀριθμὸς διεγείρει ἀπορίαν παρὰ τοῖς ἑρμηνευταῖς· διότι ὁ Ἀγαμέμνων μόνον μίαν ὕβριν ἐποίησε καλέσας τὸν Διομήδη ἀπόλεμον. Ὁ δὲ Εὐστάθιος παρατηρεῖ, «ὑποκρούεται γὰρ οὐ μόνον ἄρσεις, ὡς οὐκ ἀπτόλεμός εἰμι οὐδὲ ἄναλκις, ἀλλὰ καὶ θέσεις, ὡς τοιόσδε καὶ τοιόσδε μάλιστα ἐν τῷ ἀριστεύειν ἔγνωσμαι».

[8] Εἰς σὲ ἓν ἐκ τῶν δύω ἔδωκεν. Ὁ Σχολιαστὴς ἑρμηνεύει. «Τὴν τιμὴν εἰς δύο διελὼν καὶ μερίσας τὸ ἕτερόν σοι ἔδωκε».

[9] Σκῆπτρον εἶναι τὸ σύμβολον τῆς βασιλικῆς ἀρχῆς· μὲ τὸ σκῆπτρον μέν σοι ἔδωκε νὰ ἦσαι τετιμημένος περισσότερον ἀπὸ ὅλους.

ἀλκὴν δ' οὔτοι δῶκεν, ὅ[1] τε κράτος ἐστὶ μέγιστον.
δαιμόνι'[2], οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας ὡς ἀγορεύεις[3];
εἰ δὲ σοὶ[4] αὐτῷ θυμὸς ἐπέσσυται ὥστε[5] νέεσθαι,
ἔρχεο· πάρ[6] τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
[ἑστᾶσ'[7], αἵ τοι ἔποντο Μυκήνηθεν μάλα πολλαί]·
ἀλλ' ἄλλοι[8] μενέουσι κάρη κομόωντες Ἀχαιοί,
εἰς ὃ κέ περ Τροίην διαπέρσομεν[9]· εἰ δὲ καὶ αὐτοί[10],

[1] Ἀντὶ νὰ εἴπῃ, ἥτε, ἀλλὰ καθ' ἕλξιν συνεφώνησε πρὸς τὸ κατηγορούμενον, ὡς ἐν Ν 484. Ὁ Διομήδης ἀποφαίνεται, ὅτι τὸ μέγιστον κράτος κεῖται οὐχὶ ἐν τῷ σκήπτρῳ, ἀλλ' ἐν τῇ ἀνδρίᾳ.

[2] Μωρέ, τυφλέ. Τὸ ἀσύνδετον δίδει πολὺν τόνον εἰς τὸν λόγον. Ἡ φράσις οὕτω μάλα προσδιορίζει τὸ ἀπτολέμους καὶ ἀνάλκιδας.

[3] Κατὰ τὸν Εὐστάθιον ἡ φράσις εἶναι ἐλλειπτική. «Ἐλλέλειπται διὰ γοργότητα. Δοκεῖ γὰρ λείπειν ἢ τὸ φυγεῖν, ἵνα λέγῃ, ὡς ἀγορεύεις φυγεῖν φίλην ἐς πατρίδα γαῖαν; ἢ τὸ νέεσθαι, καθὰ μικρόν τι ὑποκαταβάς φησιν».

[4] Τινὰ τῶν χειρογράφων ἔχουσιν, εἰ δέ τοι, ὅπερ ὁ La Roche θεωρεῖ ὀρθότερον.

[5] Τὸ ὥστε ἠδύνατο νὰ λείπῃ, ἀλλ' ἐτέθη ὡς καὶ ἐν ρ 21. Καὶ παρὰ τοῖς ἀττικοῖς συχνάκις τίθεται, ὡς παρ' Ἰσοκράτ. ἐν Ἀρχιδάμ. § 40 «πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τὴν ἀσθενεστέρων χρατηθῆναι» καὶ Πλάτ. ἐν Πρωταγόρ. 338 «ἀδύνατον ὑμῖν ὥστε Πρωταγόρου τοῦδε σοφώτερόν τινα ἑλέσθαι».

[6] Πάρεστί σοι ἰέναι, εἶσαι ἐλεύθερος νὰ ἀπέλθῃς.

[7] Ἐπειδὴ ὁ στίχος ἐφάνη τοῖς Ἀλεξανδρινοῖς περισσὸς καὶ ἐξασθενῶν τὴν προηγουμένην ἔννοιαν ἠθετεῖτο ὑπὸ τούτων. Παρατηροῦμεν ὅμως, ὅτι τὸ μάλα πολλαὶ περιέχει σαρκασμὸν ἁρμόζοντα ἐνταῦθα. Τοῦτο δὲν ἔλαθε τὸν Σχολιαστὴν λέγοντα· «Πῶς δὲ οὐκ αἰσχρὸν σὺν πολλῷ ἐλθόντα στόλῳ μάταιον ὑποχωρεῖν;». Τινὲς τῶν νεωτέρων προσκρούουσιν καὶ ἐν τῷ Μυκήνηθεν, διότι αἱ Μυκῆναι δὲν ἔχουσι λιμένα. Ἀλλ' ὁ ποιητὴς ὀνομάζει τὴν πόλιν ἀντὶ τῆς χώρας.

[8] Ἐν τῷ πεζῷ λόγῳ ἤθελεν εἶναι οἱ ἄλλοι.

[9] Τοῦτο λέγει ἐν σχέσει πρὸς τὴν τελευταίαν φράσιν τοῦ Ἀγαμέμνονος ἐν στίχ. 28 «οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν».

[10] Ἐννοεῖται τὸ ῥῆμα ἢ φεύξονται ἢ ἐθέλουσι φεύγειν.

φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν [1].
νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν [2]· σὺν γὰρ θεῷ εἰλήλουθμεν».

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν, 50
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·

«Τυδείδη, πέρι [3] μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
καὶ βουλῇ [4] μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος·
οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί [5], 55
οὐδὲ πάλιν [6] ἐρέει· ἀτὰρ οὐ τέλος ἶκεο μύθων [7].
ἦ μὴν [8] καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
ὁπλότατος [9] γενεῇφιν· ἀτὰρ πεπνυμένα βάζεις

[1] Ὁ Διομήδης μετὰ πικρίας ἐπαναλαμβάνει τὴν φράσιν τοῦ Ἀγαμέμνονος ἐν στίχ. 27.

[2] Μέχρις ὅτου ἴδωμεν τὴν ἔκβασιν τοῦ ἀγῶνος περὶ τοῦ Ἰλίου· διότι ἤλθομεν μὲ τὴν βοήθειαν τοῦ θεοῦ.

[3] Ἡ πρόθεσις κεῖται ἐπιρρηματικῶς καὶ προσδιορίζει τὸ καρτερός· εἶσαι πολὺ ἀνδρεῖος.

[4] Ἐνταῦθα περιέμενέ τις, περὶ δὲ βουλῇ. Ἡ δοτικὴ εἶναι τοπικὴ καὶ κεῖται παραλλήλως εἰς τὸ πολέμῳ ἔνι. Τὸ δὲ ἑπόμενον ἐμπρόθετον σημαίνει, ὅ τι καὶ ἡ μετὰ μετάδοτικῆς, ὅπερ σπάνιον. Ὅρα Β 143.

[5] Ἐννοεῖται τὸ ῥῆμα εἰσι, πληροῖ δὲ τὴν θέσιν γενικῆς· οὐδεὶς ἐκ τῶν Ἀχαιῶν θὰ κατηγορήσῃ τὸν λόγον σου.

[6] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὸ πάλιν οὐκ ἔστιν ἐκ δευτέρου, ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ, ἐναντίως».

[7] Δὲν εἶπες πᾶν, ὅ τι ἔπρεπε νὰ εἴπῃς, δὲν εἰσήνεγκας τελείαν γνώμην, οὐχὶ δι' ἀφροσύνην, ἀλλὰ διότι δὲν ἔχεις τὴν ἐμπειρίαν τοῦ γήρατος. Ταῦτα λέγων ὁ γέρων ἔχει ἐν τῷ νῷ τὴν μετὰ τοῦ Ἀχιλλέως συνδιαλλαγήν, ἣν προπαρασκευάζει.

[8] Βεβαίως εἶσαι καὶ νέος· διὰ τῆς φράσεως ταύτης ἐπιθυμεῖ ὁ Νέστωρ νὰ μετριάσῃ τὸν ἐν τῇ ἡγουμένῃ ψόγον. Παράβαλλ. καὶ Β 291.

[9] Καὶ ἐμὸς νεώτατος παῖς ἠδύνασο νὰ ἦσαι κατὰ τὴν ἡλικίαν. Ὁ Νέστωρ ἐβίου τρεῖς γενεὰς μερόπων ἀνθρώπων. Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Τῷ τῆς συγγενείας ὀνόματι τὴν ἐξ αὐτοῦ ἐπισπᾶται εὔνοιαν».

[Ἀργείων βασιλῆας [1], ἐπεὶ κατὰ μοῖραν ἔειπες].
ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος [2] εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι [3]· οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει [4], οὐδὲ χρείων Ἀγαμέμνων.
ἀφρήτωρ [5] ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου [6] ὀκρυόεντος.
ἀλλ' [7] ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες [8] δὲ ἕκαστοι

[1] Τὸ βάζεις συνέταξε πρὸς διπλῆν αἰτιατικήν, ὡς ἀλλαχοῦ συντάσσεται τὸ αὐδᾶν, προσαυδᾶν, προσειπεῖν, ἀμείβεσθαι. Ὅμως συνετὰ ὁμιλεῖς πρὸς τοὺς βασιλεῖς τῶν Ἀργείων. Ὁ στίχος ἕνεκα τῆς ἐπαναλήψεως ἀθετεῖται ὑπὸ τῶν νεωτέρων.

[2] Ὁ Νέστωρ δὲν προτάσσει τὴν ἰδίαν σύνεσιν, ἀλλὰ τὴν ἡλικίαν.

[3] Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Διελεύσομαι τὰ πράγματα ἀπ' ἀρχῆς μέχρι τέλους». Τοῦτο λέγεται ἐν σχέσει πρὸς τὴν προηγουμένην φράσιν· «ἀτὰρ οὐ τέλος ἴκεο μύθων».

[4] Ὁ Düntzer κατ' εἰκασίαν γράφει ἀτιμήσει', ἀλλ' ὁ μέλλων τῆς ὁριστικῆς μετὰ τοῦ κε ἁπαντᾷ καὶ ἐν Α 139. Τὸ οὐδὲ ἰσοδυναμοῦν πρὸς τὸ καὶ οὐ περιέχει ἐπίδοσιν· καὶ αὐτὸς ὁ Ἀγαμέμνων δὲν θὰ δυνηθῇ νὰ περιφρονήσῃ τὸν λόγον μου. Ὀνομάζει τὸν Ἀγαμέμνονα, διότι περὶ αὐτοῦ πρόκειται.

[5] Ἀφρήτωρ λέγεται ὁ μὴ ἀνήκων εἰς φρήτριην, ἤτοι πατριάν, γένος, σύμπλεγμα πολλῶν οἰκογενειῶν. Ἀθέμιστος δὲ εἶναι ὁ ἄδικος καὶ ἀνέστιος, ὁ ἄνευ ἑστίας, ὁ ἄνευ οἰκίας. Ἐν ἄλλαις λέξεσι λύει τοὺς κοινωνικοὺς καὶ συγγενικοὺς δεσμοὺς ἐκεῖνος, ὅστις ἐπιθυμεῖ ἐμφυλίου πολέμου.

[6] Ἐπιδήμιος πόλεμος εἶναι ὁ ἐμφύλιος. Τὸ δὲ ὀκρυόεις, παράγεται ἐκ τοῦ κρύος μετὰ προσθέτου ο, ὡς καὶ ἐν τῷ ὄνυξ (νύσσω). Σημαίνει δὲ φρικτός, τρομερός.

[7] Πάνυ συνετῶς ὁ Νέστωρ διακόπτει τὸν περὶ συνδιαλλαγῆς τοῦ Ἀγαμέμνονος καὶ Ἀχιλλέως λόγον, διότι δὲν θέλει νὰ προτείνῃ τὰ τῆς πρεσβεύσεως παρόντων τῶν Ἀχαιῶν. Τοῦτο ποιεῖ μετὰ τὸ δεῖπνον, ὅτε ὑπάρχει καιρός· διότι οἱ ἄνθρωποι μετὰ τὴν τράπεζαν εἶναι εὐδιαλλακτότεροι.

[8] Ὁ Εὐσάθιος παρατηρεῖ. «Τοὺς δὲ φυλακτῆρας προϊὼν καὶ φύλακας λέγει. Οἱ δ' αὐτοὶ καὶ φύλακοι λέγονται, καὶ σκοποὶ δὲ ἂν εἰκότως, ἔτι δὲ καὶ ὀπτῆρες».

λεξάσθων [1] παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρείδη, σὺ μὲν ἄρχε [2]· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα [3] γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι [4] Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν·
πᾶσά τοί ἐσθ' ὑποδεξίη [5], πολέεσσι δ' ἀνάσσεις.
πολλῶν δ' ἀγρομένων τῷ πείσεαι [6], ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ [7] πάντας Ἀχαιούς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δὴϊοι ἐγγύθι νηῶν

[1] Ἂς στρατοπεδεύσωσιν. Ἐννοεῖ δὲ τὸν στενὸν χῶρον τὸν κείμενον μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου.

[2] Δηλ. ὁδοῦ, προηγοῦ, ὡς ἐν Α 495· «Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες πάντες ἅμα, Ζεὺς δ' ἦρχε». Ἡ τιμὴ τοῦ προηγεῖσθαι ἀνήκει τῷ Ἀγαμέμνονι, διότι οὗτος εἶναι ὁ μέγιστος βασιλεύς.

[3] Σχῆμα ἐτυμολογικόν. Ἡ ἑπομένη πρότασις αἰτιολογεῖ τήνδε. Φαίνεται, ὅτι ἡ βουλὴ τῶν γερόντων ἐγίνετο παρὰ τῇ τραπέζῃ τοῦ βασιλέως, ὡς γίνεται δῆλον ἐκ τῶν ἑπομένων. Παράβαλλ. καὶ η 189 καὶ θ 42. Αἱ πέντε βραχεῖαι προτάσεις ἐν τρισὶ στίχοις δηλοῦσι τὴν ταραχὴν τοῦ Νέστορος.

[4] Καθ' ἑκάστην ἡμέραν. Μόνον ἐνταῦθα ἔχει ταύτην τὴν σημασίαν. Ἡ Θρᾴκη ἦτο πολύοινος, μάλιστα δὲ αἱ παρ' αὐτῇ νῆσοι. Οἱ Ἀχαιοὶ ἐλάμβανον οἶνον καὶ ἐκ τῆς Λέσβου Η 467.

[5] Ὑποδεξίη εἶναι τὰ ἀπαιτούμενα πρὸς ὑποδοχήν, δηλ. ἔχεις οὐ μόνον πολὺν οἶνον, ἀλλὰ καὶ πάντα τὰ ἀναγκαῖα πρὸς ὑποδοχήν. Ὅρα, ὅτι τὸ ὑποδεξίη ἔπαθεν ἔκτασιν τῆς παραληγούσης διὰ τὸ μέτρον. Ἐν τῇ ἑπομένῃ προτάσει αἱ ἐκδόσεις τοῦ Ἀριστάρχου εἶχον τὸ γάρ, ἀλλὰ τὸ δὲ ἔχει τι ὁμηρικόν. Ἡ πρότασις ὅμως αἰτιολογεῖ τὴν προηγουμένην· ἡ πληθὺς τῶν ὑπηκόων εἶναι ἡ αἰτία τῆς ἀφθονίας τῶν ἀναγκαίων.

[6] Δύνασαι νὰ ἀκολουθήσῃς τοῦτον, ὅστις δώσῃ τὴν ἀρίστην γνώμην.

[7] Δηλαδὴ χρεώ ἐστι· συντάσσεται πρὸς αἰτιατικὴν προσώπου, ὡς καὶ ἀλλαχοῦ Κ 85 «τίπτε δέ σε χρεώ ;». Εἶναι δὲ μεγάλη ἀνάγκη ὅλοι οἱ Ἀχαιοὶ νὰ σκεφθῶσι καλῶς καὶ συνετῶς, διότι

καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε [1] γηθήσειεν;
νὺξ δ' ἥδ' ἠὲ διαρραίσει [2] στρατὸν ἠὲ σαώσει».
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο [3],
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
ἀμφί τε Νεστορίδην [4] Θρασυμήδεα, ποιμένα λαῶν,
ἠδ' ἀμφ' Ἀσκάλαφον καὶ Ἰάλμενον, υἷας Ἄρηος,
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηΐπυρόν τε,
ἠδ' ἀμφὶ Κρείοντος υἱόν, Λυκομήδεα δῖον.
ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
κοῦροι ἅμα στεῖχον, δολίχ' [5] ἔγχεα χερσὶν ἔχοντες·
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἵζον ἰόντες·
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο [6] δὲ δόρπα ἕκαστος.
Ἀτρεΐδης δὲ γέροντας ἀολλέας [7] ἦγεν Ἀχαιῶν
ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα [8] δαῖτα·
οἱ δ' ἐπ' ὀνείαθ' [9] ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν,

οἱ πολέμιοι πλησίον τῶν πλοίων καίουσι πολλὰ πυρά.

[1] Τίς δύναται νὰ χαρῇ διὰ ταῦτα; Καὶ ὁ Ἀριστοφάνης ἐν Ἀχαρν. 13 λέγει· «ἀλλ' ἕτερον ἥσθην».

[2] Ἡ παροῦσα νὺξ ἢ θὰ καταστρέψῃ τὸν στρατὸν ἢ θὰ τὸν σώσῃ.

[3] Οὕτως ἀπερρίφθη ἡ γνώμη τοῦ Ἀγαμέμνονος καὶ ἐγένετο δεκτὴ ἡ τοῦ Νέστορος.

[4] Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Εὖ τοῦ περὶ φυλακῆς εἰσηγησαμένου πρῶτος ἀριθμεῖται ὁ υἱός».

[5] Μακρὰ δόρατα ἐν χερσὶ κρατοῦντες.

[6] Ἕκαστος δὲ παρεσκεύαζε τὸ δεῖπνόν του.

[7] Ὁ Ἀρίσταρχος ἔγραφεν ἀριστέας. Ὁ υἱὸς τοῦ Ἀτρέως ὡδήγει τοὺς γέροντας συνοιθροισμένους. Οἱ ἐπιφανέστατοι τῶν γερόντων ἀριθμοῦνται ἐν Β 404.

[8] Ἐκ τοῦ μένος καὶ εἴκω. Οὕτω λέγεται ὁ καταπαύων τὴν ἐπιθυμίαν, ἤτοι ὁ ἄφθονος, ὁ δαψιλής, ὁ ἀρκετός.

[9] Τὸ ὄνειαρ παραγόμενον ἐκ τοῦ ὀνίνημι σημαίνει γενικῶς μὲν

Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
«Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ᾽ ἄρξομαι [1], οὕνεκα πολλῶν
λαῶν ἐσσὶ ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξεν
σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας [2], ἵνα σφίσι βουλεύῃσθα.
τῷ σε χρὴ πέρι [3] μὲν φάσθαι ἔπος ἠδ᾽ ἐπακοῦσαι,
κρηῆναι [4] δὲ καὶ ἄλλῳ, ὅτ᾽ ἄν τινα θυμὸς ἀνώγῃ
εἰπεῖν εἰς ἀγαθόν [5]· σέο δ᾽ ἕξεται ὅττι κεν ἄρχῃ [6].
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον [7] ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι [8] ἠδ᾽ ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ ὅτε [9], διογενές, Βρισηΐδα κούρην

ὄφελος, εἰδικῶς δὲ ἔδεσμα, φαγητόν.

[1] Κατὰ τὸν Εὐστάθιον εἶναι σχῆμα ὑστερολογίας· «προτερεύει γὰρ λήξεως ἡ ἀρχή». Εἰς σὲ μὲν θὰ τελειώσω, ἀπὸ σοῦ δὲ θὰ ἀρχίσω, δηλ. ὁλόκληρος ὁ λόγος μου θὰ περιστραφῇ εἰς σέ.

[2] Ὡς τὸ σκῆπτρον δηλοῖ τὴν βασιλικὴν ἀρχήν, οὕτως αἱ θέμιστες τὴν δικαστικὴν δικαιοδοσίαν τῶν ἀνάκτων. Καὶ ὁ Ζεὺς ἔδωκέ σοι τὴν βασιλικὴν ἀρχὴν καὶ τὴν δικαστικὴν δικαιοδοσίαν, ἵνα προνοῇς περὶ τούτων (τῶν λαῶν).

[3] Περισσῶς, κατ᾽ ἐξοχὴν ὑπὲρ πάντας τοὺς ἄλλους. Ἡ ἀπόδοσις τοῦ μὲν ὑπέρχει εἰς τὸ κρηῆναι δέ.

[4] Εἶναι δὲ ἀνάγκη νὰ ἐπιτελέσῃς καὶ τὸν λόγον ἄλλου.

[5] Τοῦτο εἶναι παράφρασις τοῦ πρὸ μικροῦ ῥηθέντος, πολλῶν ἀγρομένων τῷ πείσεαι, ὃς ἄν ἄριστα βουλεύσῃ.

[6] Ἀπὸ σὲ δὲ θὰ ἐξαρτᾶται πᾶν, οὗ ἄν ποιήσηται ἀρχὴν ὁ συμβουλεύων· δηλ. ἡ τιμὴ θέλει ἀποδοθῇ τῷ Ἀγαμέμνονι, διότι οὗτος ἔχει τὴν τελευταίαν χρίσιν. Ὅρα Η 403 ἐν παραβολῇ πρὸς τὸ 407. Λέγει τοῦτο ὁ συνετὸς γέρων, ὅπως ὁ Ἀγαμέμνων ἄνευ φθόνου δεχθῇ τὴν προταθησομένην γνώμην.

[7] Διότι κανεὶς ἄλλος δὲν θὰ σκεφθῇ καλλιτέραν γνώμην ἀπὸ ταύτην, δηλ. ἀπὸ τὴν ἐμήν.

[8] Ἀπὸ πολλοῦ χρόνου· ἀκριβέστερον ὁρίζεται διὰ τῆς ἑπομένης χρονικῆς προτάσεως.

[9] Ἀκόμη ἐξ ἐκείνου τοῦ χρόνου, ὅτε.

χωομένου Ἀχιλῆος [1] ἔβης κλισίηθεν ἀπούρας
σῦτι καθ' ἡμέτερόν γε νόον [2]· μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην [3]· σὺ δὲ σῷ μεγαλήτορι [4] θυμῷ
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ [5] ἔτισαν,
ἠτίμησας [6]· ἑλὼν γὰρ ἔχεις γέρας· ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι [7] πεπίθωμεν
δώροισίν τ' ἀγανοῖσιν [8] ἔπεσσί τε μειλιχίοισιν».

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Ὦ γέρον, οὔ τι ψεῦδος [9] ἐμὰς ἄτας κατέλεξας.

[1] Ἡ γενικὴ ἐξαρτᾶται οὐχὶ ἐκ τοῦ ἀπούρας, ἀλλ' ἐκ τοῦ κλισίηθεν. Τὴν Βρισηΐδα ἔλαβον ἐκ τῆς σκηνῆς τοῦ Ἀχιλλέως οἱ κήρυκες Α 334 καὶ οὐχὶ αὐτὸς ὁ Ἀγαμέμνων. Ὁ δὲ Εὐστάθιος παρατηρεῖ· «ὁ δὲ γέρων δριμύτερον τοῦ βασιλέως καθάπτεται, ἀφ' ὧν ἐκεῖνος εἶπεν ἀπειλησάμενος, ὡς ἐγὼ ἄγω Βρισηΐδα αὐτὸς ἰὼν κλισίηνδε».

[2] Οὐχὶ συμφώνως μὲ τὴν γνώμην μου. Τὸ ἑπόμενον μάλα προσδιορίζει τὸ πολλά.

[3] Διὰ λόγων ἀπέτρεπον, ὅπερ ὄντως ἐποίησεν ὁ Νέστωρ ἐν Α 276 «μήτε σὺ τόνδ', ἀγαθός περ ἐών, ἀποαίρεο κούρην». Τὸ ἀντίθετον εἶναι παραμυθοῦμαι, παράφημι καὶ παραυδάω.

[4] Μεγαλήτωρ σημαίνει τὸν μεγαλόφρονα. Ὁ Νέστωρ κέκτηται μεγάλην διαλλακτικὴν δεινότητα, ὡς καὶ ὁ Σχολιαστὴς παρετήρησεν εἰπών· «Δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν καὶ τὸ προπετὲς εἶξαι λέγων».

[5] Τό περ δίδει τόνον εἰς τὸ ἀθάνατοι, καὶ αὐτοὶ οἱ ἀθάνατοι. Οἱ θεοὶ ἐτίμησαν τὸν Ἀχιλλέα, διότι ἐποίησαν, ἵνα ἡττηθῶσιν οἱ Ἀχαιοί. Παράβαλλ. Α 509 καὶ Ρ 98.

[6] Μετ' ἐμφάσεως ἐτέθη ἐν ἀρχῇ τοῦ στίχου καὶ ποιεῖ ἀντίθεσιν πρὸς τὴν τελευταίαν λέξιν τοῦ προηγουμένου στίχου.

[7] Ἀλλ' ἀκόμη καὶ τώρα ἂς βουλευώμεθα, κατὰ τίνα τρόπον εὐχαριστήσαντες αὐτὸν θὰ καταπραΰνωμεν. Τὰ χειρόγραφα ἔχουσι πεπίθοιμεν, ἀλλ' ὁ Ἀρίσταρχος ἔγραφε πεπίθωμεν.

[8] Ἐκ τοῦ γάνος, γάννυσθαι καὶ σημαίνει εὐχάριστος, χαροποιός.

[9] Ὁ μὲν Duentzer ἑρμηνεύει τὸ ὄνομα ἐπιρρηματικῶς, ἄλλοι ὅμως θεωροῦσιν ὡς κατηγορηματικόν, ὅπερ πιθανώτερον. Οὐχὶ κατά τι ψευδῆ ἠρίθμησας τὰ ἐκ

ἀασάμην [1], οὐδ' αὐτὸς ἀναίνομαι. ἀντί νυ [2] πολλῶν
λαῶν ἐστὶν ἀνήρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ [3],
ὡς νῦν τοῦτον ἔτισε, δάμασσε [4] δὲ λαὸν Ἀχαιῶν.
ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι [5] πιθήσας,
ἄψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα. 120
ὑμῖν δ' ἐν [6] πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω [7],
ἑπτ' ἀπύρους [8] τρίποδας, δέκα δὲ χρυσεῖο τάλαντα,
αἴθωνας [9] δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους

τῆς τυφλώσεως ἁμαρτήματά μου.

[1] Τὸ ἀσύνδετον ἐπεξηγεῖ τὴν προηγουμένην πρότασιν. Ἐκ τυφλώσεως ἥμαρτον, καὶ ἐγὼ ὁ ἴδιος δὲν τὸ ἀρνοῦμαι.

[2] Δηλοῖ συμπέρασμα, ὅπερ ἐξήχθη ἐκ τῆς πείρας. Ὁμιλεῖ ὁ Ἀγαμέμνων γνωμικῶς ποιούμενος τὸν λόγον ἐκ τοῦ Ἀχιλλέως.

[3] Ὑποθετικὴ ἀναφορικὴ πρότασις.

[4] Παρατακτικὴ πρότασις ἀντὶ νὰ εἴπῃ ἔτισε δαμάσας.

[5] Λευγαλέος σημαίνει φθοροποιός, παράγεται δὲ ἐκ τῆς ῥίζης λυγ, ἐξ ἧς καὶ τὸ λυγρός. Ἀνάλογα εἶναι τὸ πευκάλιμος καὶ πυκνός. Οἱ ἐν τῷ στίχῳ τούτῳ καὶ τοῖς ἑπομένοις δάκτυλοι εἰκονίζουσι τὴν προθυμίαν τοῦ λέγοντος. Μετὰ τὸν στίχον τοῦτον παρ' Ἀθηναίῳ Ι σελ. 13 ἀναγινώσκεται ὁ στίχος· «ἢ οἴνῳ μεθύων, ἢ μ' ἔβλαψαν θεοὶ αὐτοί», ἔνθα σημειοῦται· «Εἰς τὴν αὐτὴν τιθεὶς πλάστιγγα τὴν μέθην τῇ μανίᾳ (οὕτω δὲ τὰ ἔπη ταῦτα προηνέγκατο Διοσκουρίδης ὁ Ἰσοκράτους μαθητής)».

[6] Ἐνώπιον ὅλων ὑμῶν, οἵτινες θὰ ἦσθε μάρτυρες.

[7] Ἡ ὑποτακτικὴ κεῖται ἀντὶ μέλλοντος τῆς ὁριστικῆς.

[8] Μὴ τεθειμένους εἰς τὸ πῦρ, ἀπυρώτους, νέους. Οἱ ἀρχαῖοι ὅμως διέστελλον δύω εἴδη τριπόδων, ὡς ἀναγινώσκομεν παρ' Εὐσταθίῳ· «Ὅτι τῶν τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἱ καὶ αἴθωνες ἴσως λέγοιντο ἂν ὡς πυρὶ αἰθόμενοι καὶ οὕτω χρήσιμοι· οἱ δὲ ἀναθεματικοὶ πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις ἢ ναοῖς, ἄχραντοι πυρὶ φυλαττόμενοι, οὓς ἀπύρους ἐνταῦθα φησὶν ὁ ποιητὴς πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν». Ἐννοεῖται τὸ δώσω, ὅπερ τίθεται κατωτέρω ἐν στίχ. 128. Τὸ δὲ τάλαντον ἦτο βάρος τι, ὅπερ δὲν εἶναι δυνατὸν νὰ ὁρισθῇ ἐκ τῶν ὁμηρικῶν ἐπῶν· φαίνεται ὅμως, ὅτι δὲν ἦτο μέγα, διότι ἐν Ψ 269 τίθεται ὡς τέταρτον ἆθλον.

[9] Ἀπαστράπτοντας ὡς τὸ πῦρ,

πηγοὺς [1] ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος [2] εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσα [3] μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
δώσω δ' ἑπτὰ γυναῖκας, ἀμύμονα [4] ἔργα ἰδυίας,
Λεσβίδας [5], ἄς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτός,
ἐξελόμην [6], αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν οἱ δώσω, μετὰ [7] δ' ἔσσεται, ἣν τότ' ἀπηύρων,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆς [8] εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,

σπινθηροβολοῦντας. Τὸ δὲ λέβης κατὰ μὲν τὸν Pott καὶ Benfey παράγεται ἐκ τοῦ λαβεῖν, κατ' ἄλλους ὅμως ἐκ τοῦ λείβειν.

[1] Τινὲς τῶν ἀρχαίων ἐξήγουν μέλανας, ὅπερ δὲν εἶναι ὀρθόν. Ἡ λέξις παραγομένη ἐκ τοῦ πήγνυμι σημαίνει τεθραμμένους, εὐτραφεῖς. Τὸ ἀθλοφόρους ἐπεξηγεῖται διὰ τῆς ἑπομένης ἀναφορικῆς προτάσεως.

[2] Ὁ Σχολιαστὴς λέγει δύω ἔτυμα· «Πένης, ἄπορος, ἤτοι δὲ ἀπὸ τοῦ μὴ ἔχειν χώραν σιτόσπορον, ἣν λήϊον καλεῖ, ἢ ἀπὸ τοῦ μὴ ἔχειν λείαν· λείας γὰρ λέγει τὰς ἀγέλας τῶν θρεμμάτων». Πιθανώτερον φαίνεται τὸ πρῶτον. Τὸ μὲν οὐκ ἀλήϊος ἰσοδυναμεῖ πρὸς τὸ πολυλήϊος, τὸ δὲ οὐκ ἀκτήμων πρὸς τὸ πολυκτήμων.

[3] Ἀναφέρεται εἰς τὸ τόσσα γένοιτο.

[4] Ὁ Ζηνόδοτος ἔγραφεν ἀμύμονας, δηλ. συνέτασσε πρὸς τὸ γυναῖκας.

[5] Ἡ Λέσβος διεκρίνετο κατὰ τὸ κάλλος τῶν γυναικῶν· ὁ δὲ Σχολιαστὴς παραδίδει, ὅτι ἐν Λέσβῳ ἦγετο ἀγὼν κάλλους ἐν τῷ τεμένει τῆς Ἥρας, καλλιστεῖα λεγόμενος.

[6] Ὁ Döderlein στίζει οὑτωσί, ἕλεν, αὐτὸς ἐξελόμην. Κατὰ δὲ τὸν Ζηνόδοτον τὸ ἐξελόμην ἦσαν δύω λέξεις ἐξ ἑλόμην νομίζων, ὅτι ἡ Βρισηὶς συναριθμεῖται. Ἀλλ' ὁ Ἀρίσταρχος ἐθεώρει μίαν λέξιν, ὡς παραδίδει ὁ Σχολιαστής· «Ἀρίσταρχος ψιλοῖ, καὶ πρόθεσιν παραδέχεται, ὥστε εἶναι ἓν μέρος λόγου».

[7] Μεταξὺ τούτων· ἀλλ' ἡ Βρισηὶς θὰ ἦναι οὐχὶ ἑβδόμη, ἀλλ' ὀγδόη, ὡς γίνεται δῆλον, ἐν Τ 246 «ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρῃον».

[8] Δηλαδὴ ταύτης, ἐξαρτᾶται δὲ ἐκ τῆς εὐνῆς. Ὁ Ἀγαμέμνων ὀμνύει, ὅτι δὲν συνευρέθη μετὰ

ἦ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα [1] πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' [2] ἀλαπάξαι,
νῆα ἅλις [3] χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
εἰσελθών [4], ὅτε κεν δατεώμεθα λητ'ὸ' Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιστα ἔωσιν.
εἰ δέ κεν Ἄργος ἰκοίμεθ' Ἀχαιϊκόν [5], οὔθαρ ἀρούρης,
γαμβρός κέν μοι ἔοι [6]· τίσω δέ μιν ἶσον Ὀρέστῃ,
ὅς μοι τηλύγετος [7] τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ [8],
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα [9].

τῆς Βρισηΐδος, ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Διὰ δὲ τοῦ ὅρκου τὸν ζῆλον τοῦ ἔρωτος τοῦ Ἀχιλλέως θεραπεύει, καὶ τὸ σῶφρον ἑαυτοῦ ἐνδείκνυται, διὰ φιλοτιμίαν, οὐκ ἀκρασίας ἕνεκεν ἀφελόμενος αὐτήν».

[1] Ὁ Ἀγαμέμνων εἰς τρεῖς καιροὺς ὑπισχνεῖται νὰ δώσῃ τὰ δῶρα, παρευθύς, μετὰ τὴν ἅλωσιν τῆς Τροίας καὶ μετὰ τὸν νόστον.

[2] Ἐὰν ὅμως πάλιν τὴν μεγάλην τοῦ Πριάμου πόλιν οἱ θεοὶ ἐπιτρέψωσι νὰ ἐκπορθήσωμεν.

[3] Τὸ ἅλις προσδιορίζει τὸ νηησάσθω, ἐξ οὗ ἐξαρτῶνται αἱ γενικαί. Ἂς φορτώσῃ πλοῖον πλῆρες χρυσοῦ καὶ χαλκοῦ.

[4] Δηλαδὴ ἄστυ ἢ αὐτό. Ὁ Ἀγαμέμνων παρὰ τοῦ Ἀχιλλέως προσδοκᾷ τὴν ἅλωσιν τῆς Τροίας.

[5] Ἀχαιϊκὸν Ἄργος ὀνομάζει τὴν Πελοπόννησον ἐν ἀντιθέσει πρὸς τὸ Πελασγικὸν Ἄργος, ὅπερ εἶναι ἡ Θεσσαλία. Οὔθαρ ἀρούρης κατὰ λέξιν σημαίνει μαστὸν τῆς γῆς. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τὸ γονιμώτατον καὶ κάλλιστον τῆς γῆς καὶ κάρπιμον».

[6] Δύναται νὰ ἦναι γαμβρός μου, ἐὰν θέλῃ.

[7] Περὶ τοῦ ἐτύμου καὶ τῆς σημασίας τῆς λέξεως ὅρα ἐν Γ 175. Τὸ δὲ θαλίῃ σημαίνει εὐτυχίαν, εὐδαιμονίαν, πάντα τὰ ἀγαθά.

[8] Ἡ λέξις ἀναγνωστέα τετρασυλλάβως, ὡς καὶ τὸ εὔπεπλος, καὶ οὐχὶ τρισυλλάβως, ὡς ἀναγινώσκουσιν ἔνιοι τῶν ἐκδοτῶν.

[9] Καὶ οἱ τραγικοὶ μνημονεύουσι τριῶν θυγατέρων τοῦ Ἀγαμέμνονος, ἀλλ' ἔχουσι διάφορα ὀνόματα· ἀντὶ τῆς Λαοδίκης λέγουσι τὴν Ἠλέκτραν καὶ ἀντὶ τῆς

τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνάεδνον [1] ἀγέσθω
πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια [2] δώσω
πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώσω εὐναιόμενα πτολίεθρα [3],
Καρδαμύλην [4] Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς [5] τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδασον [6] ἀμπελόεσσαν.

Ἰφιανάσσης τὴν Ἰφιγένειαν, ἧς τὴν θυσίαν ἀγνοεῖ ὁ Ὅμηρος. Φαίνεται, ὅτι οἱ τραγικοὶ παρέλαβον τοῦτο ἐκ τῶν Κυπρίων.

[1] Ἀνάεδνος (κατ' ἄλλους ἀνέεδνος) ἄνευ ἑδνων. Κατὰ τὸν Ἡσύχιον· «Ἄπροικον, χωρὶς ἑδνων. Ἕδνα δέ ἐστι τὰ πρὸ τῶν γάμων ταῖς γαμεῖσθαι μελλούσαις παρὰ τῶν μνηστήρων διδόμενα δῶρα».

[2] Ὁ μὲν Ἀρίσταρχος ἔγραφε ἐς μιᾷ λέξει ἐπιμείλια, ὁ δὲ Ἀπολλόδωρος κατὰ διάλυσιν, ὅπερ προτιμῶσιν οἱ νεώτεροι συνάπτοντες τὴν πρόθεσιν μετὰ τοῦ δώσω. Ἡ λέξις εἶναι συγγενὴς τῶν μειλίχιος καὶ μειλίσσω καὶ σημαίνει χαροποιὰ δῶρα.

[3] Αὗται αἱ Μεσσηνίδες πόλεις θεωροῦνται ὡς ἰδιωτικὴ τοῦ Ἀγαμέμνονος περιουσία καὶ δὲν περιλαμβάνονται εἰς τὸ βασίλειον τὸ παραληφθὲν παρὰ τοῦ Θυέστου Β 107. Ἄξιον δὲ σημειώσεως, ὅτι δὲν μνημονεύονται ἐν τῷ Καταλόγῳ.

[4] Μέχρι τοῦδε διετήρησε τὸ ὄνομα ὀλίγον παρεφθαρμένον, Σχαρδαμούλα. Περὶ δὲ τῆς Ἐνόπης ὁ Παυσανίας ΙΙΙ, 26, 8 λέγει· «Πόλιν δὲ ὀνομαζομένην ἐν τοῖς ἔπεσιν Ἐνόπην τοῖς Ὁμήρου, Μεσσηνίους ὄντας, ἐς δὲ τὸ συνέδριον συντελοῦντας τὸ Ἐλευθερολακώνων, καλοῦσιν ἐφ' ἡμῶν Γερηνίαν». Ὅρα καὶ Στράβ. VIII, 360. Τὴν δὲ Ἱρὴν ἄλλοι γράφουσιν Ἰρήν.

[5] Εἶναι ἡ μόνη πόλις, ἥτις μνημονεύεται καὶ ἀλλαχοῦ τῶν ὁμηρικῶν ἐπῶν γ 488, ο 186 καὶ Ε 543. Ἡ δὲ Ἄνθεια εἶναι κατά τινας ἡ ἔπειτα κληθεῖσα Θουρία, κατ' ἄλλους ὅμως Θουρία εἶναι ἡ Αἴπεια, ὅπερ πιθανώτερον· διότι ὀρθῶς λέγει ὁ Εὐστάθιος· «Ἡ δὲ Αἴπεια Θουρία ὕστερον ἐκλήθη, ἱδρυμένη ἐπὶ λόφου ὑψηλοῦ, ὅθεν καὶ τοὔνομα». Βαθύλειμος δηλοῖ τὴν ἔχουσαν βαθεῖς λειμῶνας, τὴν πολύχορτον.

[6] Κατὰ τὸν Παυσανίαν Πήδασος εἶναι ἡ βραδύτερον κληθεῖσα Μεθώνη· «Μοθώνη δέ, πρὶν ἢ τὴν στρατιὰν εἰς Τροίαν ἀθροισθῆναι, καὶ ἐπὶ τοῦ πρὸς Ἰλίῳ πολέμου καλουμένη Πήδασος, μεταβέβληκεν ὕστερον τὸ ὄνομα, ὡς μὲν αὐτοὶ Μοθωναῖοι λέγουσιν, ἀπὸ

πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται [1] Πύλου ἠμαθόεντος·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες [2] πολυβοῦται,
οἵ κέ ἑ δωτίνῃσι [3] θεὸν ὣς τιμήσουσιν
καί οἱ ὑπὸ σκήπτρῳ [4] λιπαρὰς τελέουσι θέμιστας·
ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι [5] χόλοιο.
δμηθήτω [6] — Ἀΐδης τοι ἀμείλιχος [7] ἠδ' ἀδάμαστος·
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος [8] ἁπάντων —
καί μοι ὑποστήτω [9], ὅσσον βασιλεύτερός εἰμι
ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι.»

τῆς Οἰνέως θυγατρὸς» IV, 35, 1. Κατ' ἄλλους εἶναι ἡ Κορώνη· ὁρα Στράβ. VIII, σελ. 359.

[1] Ὁ μὲν Ἀπολλόδωρος ἔγραφε κεάται, ὁ δὲ Ἀρίσταρχος ἐθεώρει ῥῆμα ὡς τὸ κέαται ἐν τῇ σημασίᾳ τοῦ νέονται, ὅπερ εἶναι ἀπίθανον. Ὑπὸ τῶν νεωτέρων θεωρεῖται ὡς ὑπερθετικὸν τοῦ νέος, ἐκ τῆς ῥίζης νε, ὡς μέσ-ατος καὶ ὕπ-ατος. Ὁ Εὐστάθιος ἑρμηνεύει· »ὅ ἐστιν ἔσχατοι, ὡς ὁμοροῦσαι τῇ Πύλῳ».

[2] Πολύρρηνες μὲν λέγονται οἱ πολλὰ πρόβατα ἔχοντες, πολυβοῦται δὲ οἱ πολλὰς βοῦς, καθ' ὅλου δὲ οἱ πολυθρέμμονες.

[3] Κατὰ τὸν Meyer προῆλθεν ἐκ τοῦ δωτιώνη, σημαίνει δὲ τὸ ἑκούσιον δῶρον ἐν ἀντιθέσει πρὸς τὰς θέμιστας, αἵτινες σημαίνουσι τὸν νενομισμένον φόρον, ὡς ὁ Θουκυδίδης λέγει ἐν I, 13· «πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι».

[4] Καὶ θὰ πληρόνωσιν αὐτῷ ὑπὸ τὴν ἐξουσίαν του παχεῖς, ἤτοι μεγάλους φόρους.

[5] Ἡ μετοχὴ ληπτέα ὑποθετικῶς· ταῦτα θὰ δώσω αὐτῷ, ἐὰν παύσῃ τῆς ὀργῆς.

[6] Ὁ Ζηνόδοτος καὶ ὁ Ἀριστοφάνης ἔγραφον καμφθήτω, ὅπερ δὲν ἐπιδοκιμάζεται.

[7] Σημαίνει, ὅτι καὶ τὸ ἀμείλιχτος, σκληρός, ἀδυσώπητος. Ἀδάμαστος δὲ σημαίνει τὸν ἀκαμπῆ, τὸν ἀνελεήμονα. Διὰ τοῦτο καὶ ὁ Αἰσχύλος ἔλεγε· «μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ, οὐδ' ἄντι θύων οὐδ' ἐπισπένδων λάβοις, οὐδ' ἔστι βωμός, οὐδὲ παιωνίζεται».

[8] Διότι ἀφαιρεῖ τὸν βίον, ὅστις εἶναι τὸ ὕψιστον ἀγαθόν. Καὶ ἐν Γ 454 ὁ ποιητὴς λέγει· «ἶσον γάρ σφιν πᾶσαν ἀπήχθετο κηρὶ μελαίνῃ».

[9] Ἰσοδυναμεῖ πρὸς τὸ ὑποειξάτω, ἀλλ' ἐνταῦθα μόνον ἔχει ταύτην τὴν σημασίαν· διότι ἀλλαχοῦ σημαίνει ὑπισχνεῖσθαι. Ἂς ὑποχωρήσῃ μοι, διότι καὶ βασιλεὺς

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
«'Ατρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν 'Αγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοστὰ [1] διδοῖς 'Αχιλῆϊ ἄνακτι·
ἀλλ' ἄγετε, κλητοὺς [2] ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω 'Αχιλῆος.
εἰ δ' ἄγε, τοὺς [3] ἂν ἐγὼν ἐπιόψομαι, οἵ δὲ πιθέσθων.
Φοῖνιξ [4] μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας [5] τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' 'Οδίος [6] τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
φέρτε [7] δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρησόμεθ', αἴ κ' ἐλεήσῃ.»
Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα [8] μῦθον ἔειπεν.

περισσοτέρων εἶμαι καὶ πρεσβύτερος κατὰ τὴν ἡλικίαν καυχῶμαι, ὅτι εἶμαι.

[1] Ἐκ τοῦ ὄνομαι παραγόμενον τὸ ἐπίθετον σημαίνει ἀξιόμεμπτα, ἀξιοκαταφρόνητα.

[2] Ἐπιλέκτους, κριτούς.

[3] Ὅρα, ὅτι τὸ ἀναφορικὸν προηγεῖται τοῦ δεικτικοῦ, ὅπερ ἔχει τὸν δέ. Τὸ ἐφοράω ἐκ τῆς σημασίας τοῦ παρατηρῶ ἀκριβῶς περιπίπτει εἰς τὴν σημασίαν τοῦ ἐκλέγω. Ὅρα ϐ 294.

[4] Ἐπειδὴ ὁ Φοῖνιξ εἶναι παιδαγωγὸς τοῦ 'Αχιλλέως, ἐγείρεται τὸ ζήτημα, πῶς εὑρέθη ἐνταῦθα. Τὴν γνώμην τῶν ἀρχαίων ἀναγινώσκομεν παρὰ τῷ Εὐσταθίῳ· «Ἰστέον δὲ ὅτι τε Φοῖνιξ, ὡς οἱ παλαιοὶ στοχάζονται, ἀπὸ τῆς 'Αχιλλέως σκηνῆς ἐπὶ θέαν τῆς μάχης ἐλθὼν καὶ χρονίσας περὶ ταῖς τῶν ἀριστέων σκηναῖς ἐπανέρχεται μετὰ τῶν πρέσβεων, τῆς ἱκεσίας αὐτοῖς συλληψόμενος». Οὗτος δὲν πέμπεται πρεσβεύσων, διότι συνήθως ἐπρέσβευον δύω ι, 89 καὶ Λ 140. Ἴσως πέμπεται, διότι ἐκθύμως ἐπεθύμει, ὅπως οἱ ἐρίσαντες συνδιαλλαγῶσιν, ὡς γίνεται δῆλον ἐκ τῶν ἑπομένων στίχ. 614 καὶ ἑξῆς.

[5] Ὁ μὲν Αἴας ἦτο συγγενὴς τοῦ 'Αχιλλέως, ὁ δὲ 'Οδυσσεὺς εἶχε μεγάλην πειθώ.

[6] 'Αντὶ τοῦ 'Οδίου συνήθως ὁ 'Αγαμέμνων μεταχειρίζεται τὸν Ταλθύβιον. Συμπέμπονται δὲ κήρυκες πρὸς δήλωσιν, ὅτι ἡ πρεσβεία εἶναι ἐπίσημος.

[7] Τοῦτο λέγει ἀποτεινόμενος πρὸς τοὺς κήρυκας, ὡς γίνεται δῆλον ἐκ τοῦ στίχ. 174. Πρὸ τῶν θυσιῶν καὶ τῶν σπονδῶν ἔπλυνον τὰς χεῖρας, Ζ 266.

[8] Κεῖται κατηγορηματικῶς εἰς

αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι [1] δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός,
ὥρμων' ἐκ κλισίης 'Αγαμέμνονος 'Ατρείδαο.
τοῖσι δὲ πόλλ' ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ,
δενδίλλων [2] ἐς ἕκαστον, 'Οδυσσῆϊ δὲ μάλιστα,
πειρᾶν [3] ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.

Τὼ [4] δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
πολλὰ μάλ' εὐχομένω γαιήοχῳ ἐννοσιγαίῳ [5]
ῥηϊδίως πεπιθεῖν [6] μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην,
τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ [7]
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν [8] ἦεν.

τὸ ἑαδότα· εἶπε λόγον, ὁ ὁποῖος ἦτο ἀρεστός, εὐχάριστος.

[1] Ὁ στίχος οὗτος καὶ ὁ ἑπόμενος ἑρμηνεύονται ἐν Α 470 καὶ 471.

[2] Τὸ ἔτυμον τοῦ ῥήματος εἶναι ἀμφίβολον· διότι ἄλλοι μὲν παράγουσιν ἐκ τῆς αὐτῆς ῥίζης, ἐξ ἧς τὸ ἔδρακον, ὑπόδρα, ὁ δὲ Döderlein παράγει δι' ἀναδιπλασιασμοῦ ἐκ τοῦ ἀχρήστου δένω (ἐξ οὗ τὸ δόναξ). Ὁπωσδήποτε κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Διανεύων τοῖς ὀφθαλμοῖς»· κατὰ δὲ τὸν Ameis ζωηρῶς βλέπων, βλέμματα ῥίπτων.

[3] Ἐξαρτᾶται ἐκ τοῦ ἐπέτελλε.

[4] Ὁ Αἴας καὶ ὁ Ὀδυσσεὺς νοοῦνται, διότι οὗτοι κυρίως ἀπετέλουν τὴν πρεσβείαν.

[5] Εὔχονται τῷ Ποσειδῶνι, διότι παρὰ τῇ θαλάσσῃ ἐβάδιζον.

[6] Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου ἐξάγεται ἐκ τοῦ εὐχομένω κατ' ὀνομαστικήν. Διὰ τοῦ μεγάλας φρένας ἐννοεῖ τὴν ὑπερήφανον διάνοιαν τοῦ Αἰακίδου, τὴν ἀλαζονείαν.

[7] Τερπόμενον διὰ φόρμιγγος ὀξυτόνου, ὀξυφώνου. Τὸ θηλυκὸν ἔχει ἀνώμαλον, λίγεια. Ἡ θέσις τοῦ Ἀχιλλέως εἶναι ἀρίστη· διότι ὁ μὲν ἀδικήσας ἡττᾶται, κινδυνεύει καὶ ταπεινοῦται, ὁ δὲ ἀδικηθεὶς ᾄδει.

[8] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ζυγὸς ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι. Οὕτως δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξά-

τὴν ἄρετ' ἐξ ἐνάρων [1], πόλιν Ἠετίωνος ὀλέσσας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα [2] ἀνδρῶν.
Πάτροκλος δέ οἱ οἷος ἐναντίος ἧστο σιωπῇ,
δέγμενος Αἰακίδην [3], ὁπότε λήξειεν ἀείδων.
τὼ δὲ βάτην προτέρω [4], ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς,
στὰν δὲ πρόσθ' αὐτοῖο· ταφὼν [5] δ' ἀνόρουσεν Ἀχιλλεὺς
αὐτῇ σὺν φόρμιγγι [6], λιπὼν ἕδος ἔνθα θάασσεν.
ὡς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη.
τὼ καὶ δεικνύμενος [7] προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον (ἦ τι μάλα χρεώ)[8],

πτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι».

[1] Ἐκ τῶν λαφύρων. Περὶ τῆς πόλεως τοῦ Ἠετίωνος ὅρα Ζ 396.

[2] Ἐνδόξους, ἡρωϊκὰς πράξεις. Ὁ Ἀχιλλεὺς εἶναι ὁ μόνος ἥρως, ὅστις ᾄδει ἡρωϊκὰ ᾄσματα πρὸς τέρψιν. Ἐκ τοῦ ἰδανικοῦ τύπου τοῦ Ἀχιλλέως δὲν ἠδύνατο νὰ λείπῃ ἡ μουσική.

[3] Ἀντὶ νὰ εἴπῃ, δέγμενος, ὁπότε Αἰακίδης λήξειεν. Περιμένων, πότε θέλει παύσει νὰ ψάλλῃ ὁ Αἰακίδης.

[4] Τοπικῶς ληπτέον, δηλ. προσωτέρω, ὡς καὶ ἐν στίχ. 199.

[5] Ὁ Ἀχιλλεὺς ἐξεπλάγη ἐπὶ τῇ ἀπροσδοκήκῳ παρουσίᾳ τῶν ἡρώων.

[6] Συνηθέστερον τίθεται ἁπλῇ δοτικὴ. Διὰ τὴν ἔκπληξιν δὲν εὗρε καιρὸν ὁ Ἀχιλλεὺς νὰ καταθέσῃ τὴν φόρμιγγα.

[7] Δεξιούμενος, φιλοφρονούμενος· τοιαύτην σημασίαν ἔχουσι καὶ τὰ δεδέχαται, δειδέχατο, δείδεκτο, δεικανάομαι καὶ δειδίσκομαι.

[8] Ὁ Παρμενίσκος ἔγραφεν ἱκάνετον ἡμετερόνδε, ἐπειρᾶτο δέ, ὡς φαίνεται, νὰ ἄρῃ τὸ σκοτεινόν, ὅπερ κατὰ τὸ φαινόμενον παρέχει τὸ χωρίον. Ἐκ τῶν νεωτέρων ὁ Döderlein γράφει οὑσωσί· χαίρετον! ἦ φίλοι ἄνδρες ἱκάνετον, ἤτοι μάλα χρεώ; καὶ ἑρμηνεύει· «Καλῶς ὡρίσατε, ἔρχεσθε ἁπλῶς ὡς φίλοι πρὸς φιλικὴν ἐπίσκεψιν; ἢ ἀναγκάζει ἡμᾶς ἀνάγκη;» Πιθανώτερον ὅμως ὁ La Roche, ὁ Koch καὶ ἄλλοι θεωροῦσιν ὡς παρένθεσιν· βεβαίως μεγάλη τις ἀνάγκη βιάζει ὑμᾶς νὰ ἔλθητε. Ἐκ τοῦ ἱκάνετον πρέπει νὰ ἐννοήσωμεν τὸ ἱκανέμεν.

οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί [1] ἐστον.»
Ὣς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς.
εἶσεν δ' ἐν κλισμοῖσι τάπησί [2] τε πορφυρέοισιν·
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα·
«Μείζονα [3] δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα,
ζωρότερον [4] δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.»
Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
αὐτὰρ ὅγε [5] κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ [6],
ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος καὶ πίονος αἰγός,
ἐν δὲ συὸς σιάλοιο [7] ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.

[1] Ἐκ τῶν ἀρχαίων ἄλλοι μὲν ἔγραφον κατὰ δυϊκόν, ἄλλοι δὲ κατὰ τὸν πληθυντικὸν ἀριθμόν.

[2] Τάπητες εἶναι τὰ σκεπάσματα τῶν ἐδωλίων, ἢ τὰ προσκεφάλαια, ὡς λέγει ὁ Εὐστάθιος.

[3] Αἰτεῖ μείζονα κρατῆρα, διότι ὁ ἀριθμὸς τῶν μελλόντων νὰ πίωσιν ἔμελλε νὰ ἦναι μείζων.

[4] Κατὰ τὸν Döderlein ἐκ τοῦ ζόη γίνεται ζοαρός, ἐξ οὗ ζωρός, ὡς τὸ χλωρὸς ἐκ τοῦ χλοαρός. Οὕτω σημαίνει οἶνον ζωηρόν, δυνατόν. Ἄλλοι ἑρμηνεύουσιν ἄκρατον καὶ ἄλλοι ἀφρίζοντα. Νομίζομεν, ὅτι ὁ Ἀχιλλεὺς κελεύει τὸν φίλον, ἵνα κεράσῃ ὀλιγωτέραν ποσότητα ὕδατος. Ἡρόδοτ. VI, 84. «Κλεομένεα δὲ λέγουσι ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα ὁμιλέειν σφι μεζόνως, ὁμιλέοντα δὲ μᾶλλον τοῦ ἰκνευμένου μαθεῖν τὴν ἀκρητοποσίην παρ' αὐτέων. Ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται. Ἔκτε τοῦ, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βούλωνται πιέειν, «ἐπισκύθισον» λέγουσι». Ὅρα, ὅτι ἔθηκε τὸ ἐπίθετον ἄνευ τοῦ οὐσιαστικοῦ, ὡς ἐν κ 362· «θυμῆρες κεράσασα». Τὸ δὲ κεραίω εἶναι διάφορος τύπος τοῦ κεράω καὶ κεράννυμι.

[5] Πρέπει νὰ ἐννοήσωμεν τὸν Ἀχιλλέα, διότι ὁ Πάτροκλος ἠσχολεῖτο περὶ τὴν κρᾶσιν τοῦ οἴνου. Ὁ Εὐφορίων ἐνόμιζεν, ὅτι κρεῖον σημαίνει τὸ κρέας, ὅπερ δέον εἶναι ὀρθόν· διότι σημαίνει σανίδιον, ἐφ' οὗ ἐκόπτετο καὶ ἡτοιμάζετο τὸ κρέας, κρεατοσάνιδον.

[6] Ἐπειδὴ ἦτο νύξ, ἐπλησίασε τὸ κρεατοσάνιδον εἰς τὸ πῦρ, ὅπως βλέπῃ. Ἐν τῷ ὁμηρικῷ αἰῶνι ὁ φωτισμὸς ἦτο ἀτελέσατος.

[7] Χοίρου σιτευτοῦ, εὐτραφοῦς. Ἀλοιφὴν δὲ λέγει τὴν πιμελήν, τὸ πάχος.

τῷ [1] δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ μίστυλλε [2] καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν,
πῦρ δὲ Μενοιτιάδης δαΐεν [3] μέγα, ἰσόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν [4] στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσεν,
πάσσε [5] δ' ἁλὸς θείοιο, κρατευτάων [6] ἀπαείρας.
αὐτὰρ ἐπεὶ ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν [7] ἔχευεν,
Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο
τοίχου τοῦ ἑτέροιο [8], θεοῖσι δὲ θῦσαι ἀνώγει

[1] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τούτῳ δὲ τῷ Ἀχιλλεῖ ὑπηρέτει τὰ κρέα ὁ Αὐτομέδων, οἷον ὑπεῖχεν αὐτά, ἐκεῖνος δὲ διέτεμεν». Τὸ ἀντικείμενον τοῦ ἔχεν εἶναι τὰ κρέα, ὅπερ παρελείφθη. Ὁ Αὐτομέδων εἶναι ἡνίοχος τοῦ Ἀχιλλέως, Π 145.

[2] Περὶ τοῦ ῥήματος, ὅρα ἐν Α 465.

[3] Ἐν τῷ μεταξὺ ὁ Πάτροκλος εἶχε κεράσει τὸν οἶνον κατὰ τὴν ἐντολήν, ἣν ἔλαβε παρὰ τοῦ Ἀχιλλέως.

[4] Σωρὸς ἀνθράκων, ἡ κοινῶς λεγομένη χόβολη. Ὁ Εὐστάθιος παρατηρεῖ. «Ἀνθρακιὰ δὲ ἀναλόγως ἔχει τῷ μυρμηκιά, πυρκαϊά, ἀχυρμιά, ἔστι δὲ τύπου περιεκτικοῦ. Ὡς γὰρ ἡ ἀχυρμιὰ περιέχει ἄχυρα καὶ μύρμηκας ἡ μυρμηκιά, οὕτω καὶ ἄνθρακας ἡ ἀνθρακιά»,

[5] Τὸ ἀντικείμενον, τὰ κρέα, λείπει. Ἐπασπάλιζε τὰ κρέατα μὲ θεῖον ἅλας.

[6] Κρατευταὶ (αἱ) εἶναι τὰ στηρίγματα τῶν ὀβελῶν. Συνήθως ἡ λέξις παράγεται ἐκ τοῦ κράτος, κατὰ δὲ τὸν Döderlein ἐκ τοῦ κέρας, κερατεύω (ἀχρ), ὅπερ δὲν φαίνεται πιθανόν. Ἄλλοι μὲν γράφουσιν ἐπαείρας, ἀλλ' ὁ Ἀρίσταρχος ἀπαείρας· τὴν γραφὴν δὲ ταύτην προτιμῶμεν.

[7] Ἕλεος λέγεται ἡ μαγειρικὴ τράπεζα, ἐφ' ἧς κόπτουσι τὰ κρέατα.

[8] Γενικὴ δηλοῦσα τὴν ἐν τόπῳ στάσιν. Ὁ Ἀχιλλεὺς κάθηται ἀντικρὺ τοῦ Ὀδυσσέως ὡς ξένος πρὸς ξενιζόμενον. Κατὰ τὸν Σχολιαστήν· «Ὡς διαλεξόμενος, οἶδε γὰρ ὅτι αὐτὸς τὴν πρεσβείαν πεπίστευται».

Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς [1].
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
νεῦσ' [2] Αἴας Φοίνικι. νόησε δὲ δῖος Ὀδυσσεύς,
πλησάμενος δ' οἴνοιο δέπας δείδεκτ' Ἀχιλῆα·
«Χαῖρ', Ἀχιλεῦ [3]· δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς [4], 225
ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα [5] γὰρ μενοεικέα πολλὰ
δαίνυσθ'· ἀλλ' οὐ δαιτὸς ἐπηράτου [6] ἔργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα [7], διοτρεφές, εἰσορόωντες

[1] Ὁ Döderlein καὶ ἄλλοι ἑρμηνεύουσι τὰς θυηλὰς θυμιάματα, ὅπερ δὲν εἶναι πιθανόν. Ὀρθῶς ἐξηγεῖ ὁ Εὐστάθιος· «ἀπόμοιραν δηλαδή τινα τῶν ὀπτηθέντων κρεῶν κατά τινα λόγον ἀπαρχῆς». Τῷ Koch ἐφάνη ἀσύνηθες, ὅτι ὁ Πηλείδης τὴν θυσίαν καταλείπει τῷ Πατρόκλῳ.

[2] Ὁ Αἴας ἔνευσε τῷ Φοίνικι, ὅπως οὗτος ἄρξηται τοῦ λόγου, ἀλλὰ προέλαβεν ὁ Ὀδυσσεύς. Οἱ ἀρχαῖοι ἀνεζήτησαν τὸν λόγον τούτου, ὡς ἀναγινώσκομεν παρ' Εὐσταθίῳ. «Νοήσας δὲ Ὀδυσσεύς, ᾧ καὶ ἐπέτελλε μάλιστα ὁ Νέστωρ, ἁρπάζει τὴν δημηγορίαν καὶ πρωτολογεῖ λογισάμενος, ὡς εἰκός, ἢ πείσειν τὸν Ἀχιλλέα καὶ ἀποίσεσθαι τὸ τῆς πειθοῦς ἀριστεῖον, ἢ εἰ μὴ πείσει, ἀλλὰ τότε δὴ ὥσπερ δευτέρᾳ τινὶ καὶ τρίτῃ μηχανῇ κατασείσαι τὸν τοῦ θυμοῦ πύργον τῷ Ἀχιλλεῖ τῇ τῶν οἰκιακῶν δημηγορίᾳ, τοῦ Φοίνικος καὶ τοῦ Αἴαντος».

[3] Τοῦ Ὀδυσσέως ὁ λόγος ἔχει μεγάλην ῥητορικὴν ἀξίαν. Περὶ ὁμηρικῆς ῥητορικῆς εἴπομεν τὰ δέοντα ἐν τῇ Εἰσαγωγ. σελ. 26.

[4] Ἐννοεῖται τὸ ῥῆμα, ἐσμέν. Δὲν ἔχομεν ἀνάγκην δείπνου.

[5] Πάρα = πάρεστι.

[6] Ἐκ τῆς ἐπὶ καὶ ἐράω. Ἀλλὰ δὲν φροντίζομεν περὶ ὀρεκτικῆς τροφῆς. Σημειωτέον, ὅτι ὁ Bentley ἀντὶ ἐπηράτου ἔγραψεν ἐπήρατα, ὅπερ δὲν ἐπιδοκιμάζει ὁ Ameis· διότι ἡ γενικὴ ἁρμόζει μᾶλλον εἰς τὴν ἀντίθεσιν.

[7] Ἀλλὰ λίαν μεγάλην δυστυχίαν βλέποντες. Ὁ ῥήτωρ ἐπαναλαμβάνει τὴν κλητικήν, ὅπως διεγείρῃ τὴν προσοχὴν τοῦ Ἀχιλλέως εἰς τὴν ἑπομένην περιγραφὴν τοῦ κινδύνου. Ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Εἰς δύο στάσεις διεῖλε τὸν λόγον, τὴν παρορμητικήν, τραγῳδήσας τὰς

δείδιμεν· ἐν δοιῇ [1] δὲ σαωσέμεν ἢ ἀπολέσθαι
νῆας ἐϋσσέλμους, εἰ μὴ σύ γε [2] δύσεαι ἀλκήν.
ἐγγὺς γὰρ νηῶν [3] καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
κηάμενοι πυρὰ [4] πολλὰ κατὰ στρατόν, οὐδ' ἔτι φασὶν
σχήσεσθ' [5], ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια [6] σήματα φαίνων
ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων [7]
μαίνεται ἐκπάγλως, πίσυνος [8] Διί, οὐδέ τι τίει
ἀνέρας, οὐδὲ θεοὺς [9]· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.

συμφοράς, εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσας τὴν παρόρμησιν· καὶ εἰς τὴν ἀλλοιωτικήν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν στρατιὰν ἔλαβεν».

[1] Δοιὴ εἶναι ἡ ἀμφιβολία, ἡ ἀβεβαιότης. Ἐκ τοῦ ὀνόματος τούτου παρήχθη καὶ τὸ ἐνδοιάζω. Διὰ τὸ ἐναγώνιον μετέβαλε τὸ ὑποκείμενον τῶν ἀπαρεμφάτων. Ἡ αἰτιατικὴ νῆας ἐν μὲν τῷ πρώτῳ ἀπαρεμφάτῳ ἐπέχει θέσιν ἀντικειμένου, ἐν δὲ δευτέρῳ ὑποκειμένου. Τινὲς πρὸς ἄρσιν τῆς δυσκολίας ταύτης θέλουσι νὰ γραφῇ, σόας ἔμεν.

[2] Τόγε δίδει μεγάλην ἔμφασιν εἰς τὸ σύ. Οὕτως ὁ Ὀδυσσεὺς τὴν σωτηρίαν πάντων ἀνάγει εἰς μόνον τὸν Ἀχιλλέα. Ἡ ἀναγνώρισις αὕτη εἶναι ἡ μόνη ἱκανοποίησις τοῦ ἥρωος. Φαίνεται ὀλίγον παράδοξος ἡ φράσις δύεσθαι ἀλκήν, ἀλλ' εἶναι συνήθης τῷ Ὁμήρῳ, ὡς Η 164 «θοῦριν ἐπιειμένοι ἀλκήν». Ρ 742 «κρατερὸν μένος ἀμφιβαλόντες». Παράβαλλ. καὶ Σ 157 καὶ Τ 36.

[3] Προέταξε τὰς ναῦς, ὅπως δείξῃ τὴν σπουδαιότητα τοῦ κινδύνου. Τὸ δὲ αὖλιν ἔθεντο σημαίνει ηὐλίσαντο, αὐλισμὸν ἐποίησαν, ἐστρατοπέδευσαν.

[4] Τὰ πυρὰ εἶναι τὸ φανερὸν σημεῖον τοῦ ἀπειλοῦντος κινδύνου.

[5] Καὶ λέγουσιν, ὅτι δὲν θὰ κρατήσωσι πλέον τὸν ἑαυτόν των, δὲν θὰ κρατηθῶσιν, ἀλλὰ θὰ πέσωσιν εἰς τὰ μαῦρα πλοῖα.

[6] Δεξιὰ σημεῖα, αἴσια, νίκην προμηνύοντα.

[7] Ὅρα Θ 337. Ἡ μνεία τοῦ Ἕκτορος ἐρεθίζει τὸν Ἀχιλλέα.

[8] Πεποιθὼς τῷ Διί, ὅστις ἀστράπτει.

[9] Ὁ Ἕκτωρ ἐκ τῆς πεποιθήσεως πρὸς τὸν Δία δὲν σέβεται τοὺς ἄλλους θεούς. Ἐν Ν 54 λέγει ὁ ποιητὴς «Ἕκτωρ ὃς Διὸς

ἀρᾶται δὲ τάχιστα φανήμενα Ἠῶ δῖαν·
στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα [1]
αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός [2], αὐτὰρ Ἀχαιοὺς
δηώσειν παρὰ τῆσιν, ὀρινομένους [3] ὑπὸ καπνοῦ.
ταῦτ' [4] αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ [5] ἀπειλὰς
ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἶσιμον εἴη
φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἄργεος [6] ἱπποβότοιο.
ἀλλ' ἄνα [7], εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
τειρομένους ἐρύεσθαι ὑπὸ [8] Τρώων ὀρυμαγδοῦ.
αὐτῷ τοὶ [9] μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος [10]

εὔχετ' ἐρισθενέος παῖς εἶναι».

[1] Ἡ λέξις παράγεται ἐκ τῆς αὐτῆς ῥίζης, ἐξ ἧς καὶ ἡ κόρυς, κορυφὴ καὶ σημαίνει τὰ ἀκροστόλια ἢ τὰ ἄφλαστα. Θέλει δὲ νὰ ἀποκόψῃ ταῦτα, ἢ διότι ἔμελλον νὰ χρησιμεύσωσιν ὡς τρόπαια, ἢ διότι εἶχον ἐντετυπωμένους θεούς, ὅπως μὴ καταχαῶσι τὰ ἀγάλματα, ὡς λέγει ὁ Σχολιαστής.

[2] Ἐνταῦθα περιέμενέ τις δοτικήν, ἀλλ' ἡ τοιαύτη σύνταξις εὕρηται καὶ ἀλλαχοῦ, ὡς ἐν Β 415.

[3] Ταραττομένους· ἄλλοι ὅμως γράφουσιν ἀτυζομένους ὡς ἐν Θ 183, ὅπερ δὲν ἐπιδοκιμάζεται.

[4] Τὰ εἰρημένα ἐν τοῖς στίχοις 240—243.

[5] Προετίμησε τὴν δοτικὴν χαριστικὴν ἀντὶ νὰ εἴπῃ αὐτοῦ.

[6] Ὁ Εὐστάθιος παρατηρεῖ· «φανερῶς διὰ τοῦ Ἄργους Ὀδυσσεὺς τὰς τῶν ὅλων χώρας δηλοῖ ὅσοι κατὰ Τροίας ἐστρατεύσαντο, ἐκ μέρους ἀξιολογωτάτου δηλώσας ἐκείνας».

[7] Ἄνα=ἀνάστηθι, ὡς Ζ 331, Σ 178 καὶ σ. 13. Τὸ μέμονας εἶναι παρακείμενος (ἐκ τῆς ῥίζης μα, ἐξ ἧς τὸ μέμαα) ἔχων σημασίαν ἐνεστῶτος. Διὰ τοῦ ὀψὲ ὑποδεικνύει ὁ ῥήτωρ, ὅτι ἡ βοήθεια ἦτο ἀνάγκη νὰ γείνῃ πρότερον.

[8] Τὸ ἐμπρόσθετον ἠδύνατο νὰ ἀνήκῃ εἰς τὸ τειρομένους, ὡς ἐν κ 78 «τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς», ἀλλὰ πιθανώτερον εἰς τὸ ἐρύεσθαι, ὡς ἐν Ρ 645· διότι οἱ Ἀχαιοὶ δὲν φθείρονται ὑπὸ τοῦ θορύβου τῶν Τρώων, ἀλλὰ κινδυνεύουσι καὶ πρόκειται νὰ σωθῶσιν.

[9] Τινὲς τῶν κριτικῶν γράφουσιν αὐτῷ σοί, ἀλλὰ πάντα τὰ χειρόγραφα ἔχουσιν αὐτῷ τοι, ὅπερ προτιμητέον.

[10] Οὐδέ τι μῆχος=ἀμήχανον.

ῥεχθέντος [1] κακοῦ ἔστ᾽ ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζευ ὅπως Δαναῖσιν ἀλεξήσεις κακὸν ἦμαρ [2].
ὦ πέπον [3], ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης [4] Ἀγαμέμνονι πέμπεν·
τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη [5]
δώσουσ᾽, αἴ κ᾽ ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμόν
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη [6] γὰρ ἀμείνων·
ληγέμεναι δ᾽ ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον [7]
τίωσ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.᾽
ὡς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι [8]. ἀλλ᾽ ἔτι καὶ νῦν
παύε, ἔα δὲ χόλον θυμαλγέα [9]· σοὶ δ᾽ Ἀγαμέμνων
ἄξια δῶρα δίδωσι [10] μεταλλήξαντι χόλοιο.
εἰ δέ [11], σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω
ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ᾽ Ἀγαμέμνων,
ἑπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,

Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Οὐδεμία ἔσται μηχανὴ τοῦ κακοῦ πραχθέντος θεραπείαν εὑρεῖν».

[1] Προέταξε τὴν μετοχὴν μετ᾽ ἐμφάσεως. Τοῦτο ὑπομιμνήσκει τὴν πολυθρύλητον ῥῆσιν ἐν Υ 198 «ῥεχθὲν δέ τε νήπιος ἔγνω».

[2] Ἐνταῦθα δηλοῖ τὸν θάνατον.

[3] Ἀγαπητέ, βέλτιστε. Ἐπαναλαμβάνει τὴν προσφώνησιν, ὅπως ἐπιστήσῃ τὴν προσοχὴν τοῦ Ἀχιλλέως ἐπὶ τῶν ἑπομένων.

[4] Ὁ Ὅμηρος ἀγνοεῖ τὸν μῦθον, ὅτι ὁ Ἀχιλλεὺς ἐστρατεύσατο ἐπὶ Τροίαν ἐκ Σκύρου. Ὅρα Λ 766.

[5] Ἡ Ἀθηνᾶ καὶ ἡ Ἥρα ἦσαν φίλαι καὶ προστάτιδες τοῦ Ἀχιλλέως ἐκ νεανικῆς ἡλικίας.

[6] Φιλοφροσύνη εἶναι ἡ φιλικὴ διάθεσις, ἡ πρᾳότης, ἧς τὸ ἀντίθετον ἡ ἔρις. Ταῦτα λέγων ὁ Πηλεὺς ἐγίνωσκε τὸν φιλόνεικον τοῦ υἱοῦ χαρακτῆρα.

[7] Περισσότερον ἐν ταύτῃ τῇ ἰδιότητι ἢ ἐν τῇ ἀντιθέτῳ.

[8] Δὲν λέγει ἀμελεῖς, ἀλλὰ λήθεαι, ὅπως μὴ λίαν προσβάλῃ τὸν Ἀχιλλέα.

[9] Ὀργὴν λυποῦσαν τὴν καρδίαν, ἀλγεινήν. Τὸ ἐπίθετον δέον νὰ ληφθῇ κατηγορηματικῶς, δηλ. θυμαλγέα οὖσαν, ἄφες τὴν ὀργήν, διότι λυπεῖ τὴν καρδίαν.

[10] Ὑπισχνεῖται νὰ δώσῃ, ἢ εἶναι ἄξιος νὰ δώσῃ.

[11] Ἐννοεῖται τὸ βούλει, ὡς πολλαχοῦ.

αἴθωνας[1] δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσ' Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
δώσει δ' ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτός,
ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν τοι δώσει, μετὰ δ' ἕσσεται ἣν τότ' ἀπηύρα
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται
μήποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἐστίν, ἄναξ, ἦτ' ἀνδρῶν ἦτε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἁλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι
εἰσελθών, ὅτε κεν δατεώμεθα λητίδ' Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιστα ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν οἱ ἔοις· τίσει δέ σε ἶσον Ὀρέστῃ,
ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ οἱ εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα·
τάων ἥν κ' ἐθέλῃσθα, φίλην ἀνάεδνον ἄγεσθαι
πρὸς οἶκον Πηλῆος· ὁ δ' αὖτ' ἐπὶ μείλια δώσει
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ τοι δώσει εὐναιόμενα πτολίεθρα,

[1] Οἱ στίχοι 264—299 δὲν ἑρμηνεύονται· διότι εἶναι οἱ αὐτοὶ οἱ ἐν 122—157 μετὰ ἐλαχίστων μεταβολῶν, αἵτινες ἦσαν ἀναγκαῖαι διὰ τὴν ἀλλαγὴν τοῦ προσώπου.

Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος· 295
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι θεὸν ὡς τιμήσουσιν
καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρεΐδης μὲν [1] ἀπήχθετο κηρόθι μᾶλλον, 300
αὐτὸς [2] καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους περ Παναχαιούς [3]
τειρομένους ἐλέαιρε κατὰ στρατὸν [4], οἵ σε θεὸν ὡς
τίσουσ'· ἦ γάρ κέ σφι [5] μάλα μέγα κῦδος ἄροιο.
νῦν [6] γάρ χ' Ἕκτορ' ἔλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθοι
λύσσαν ἔχων [7] ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον 305
οἵ [8] ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν.»

[1] Ἡ ἀντίθεσις γίνεται εἰς τὸ σὺ δέ. Ἄξιον σημειώσεως, ὅτι ἐν τῷ ὑποθετικῷ λόγῳ ὑπάρχει ἀντίθεσις. Τὸ δὲ μᾶλλον δηλοῖ, περισσότερον ἢ ὥστε νὰ συνδιαλλαγῇς.

[2] Ἐπειδὴ ἐπεξηγεῖ τὸ Ἀτρεΐδης, ἤρκει μόνον τὸ αὐτός, ἀλλ' ἐπεκτείνει τὴν ἔννοιαν. Τὸ τοῦ ἀναφέρεται εἰς τὸ ἀμέσως προηγούμενον αὐτός, ὡς καὶ ἐν Δ 28.

[3] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Αὔξων τὴν εὔκλειαν, δείκνυσιν ὡς πρὸς αὐτούς ἐστιν ἡ πρᾶξις».

[4] Προσδιορίζει τὸ τειρομένους· ἐλέει τοὺς Παναχαιούς, διότι καταπονοῦνται κατὰ τὸ στρατόπεδον.

[5] Παρ' αὐτοῖς, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν, ὡς ἐν Δ 95.

[6] Τὸ ἐπίρρημα προτάσσει μετὰ τόνου ἐν ἀντιθέσει πρὸς τὸ παρελθόν, ὅτε ὁ Ἕκτωρ ἀπέφευγε τὴν μάχην πρὸς τὸν Ἀχιλλέα.

[7] Περιέχει τὴν αἰτίαν τοῦ σχεδὸν ἔλθοι. Ὁ Ἕκτωρ σωφρονῶν δὲν ἠδύνατο νὰ πλησιάσῃ τὸν Ἀχιλλέα· ἐπειδὴ ὅμως κατέχεται ὑπὸ ὀλεθρίας λύσσης, δύναται νὰ πράξῃ τοῦτο.

[8] Ἐν ἀρχῇ τοῦ στίχου πρὸς ἔμφασιν· λέγει, ὅτι κανεὶς ἐκ τῶν Δαναῶν δὲν εἶναι ὅμοιος μὲ τὸν ἑαυτόν του (τὸν Ἕκτορα) ἐξ ἐκείνων, τοὺς ὁποίους ἐκόμισαν ἐδῶ τὰ πλοῖα. Ὅρα, ὅτι ὁ πανοῦργος

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως [1] ἀποειπεῖν,
ἢ περ [2] δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε [3] παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν [4],
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὔτ' ἐμέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ' ἄλλους Δαναούς [5], ἐπεὶ οὐκ ἄρα [6] τις χάρις ἦεν

Ὀδυσσεὺς δὲν λέγει τῶν νῦν μαχομένων, ἀλλὰ περιλαμβάνει καὶ τὸν Ἀχιλλέα, ὅπως τὸ φιλότιμον τούτου κεντρίσῃ.

[1] Κατά τινας μὲν ἐκ τοῦ ἀ π ο λ έ γ ω, κατ' ἄλλους δὲ ἐκ τῆς ἀ π ὸ καὶ ἀ λ έ γ ω, ὡς τὰ ν η λ ε γ ὴ ς καὶ ἀ ν η λ ε γ ή ς. Σημαίνει λοιπὸν ἀφροντίστως, ἀπροκαλύπτως· ἔχω καθῆκον νὰ ἐκφράσω τὴν γνώμην μου ἄνευ προφυλάξεως.

[2] Ἡ πρότασις αὕτη ἐπεξηγεῖ τὸ ἀ π η λ ε γ έ ω ς. Ἐνταῦθα καὶ ἐν τοῖς ἑπομένοις παρατηρεῖται ἔμμεσος προσβολὴ κατὰ τοῦ πολυμηχάνου Ὀδυσσέως, ὅστις ῥητορικῶς ἐπειράθη νὰ πείσῃ τὸν Ἀχιλλέα.

[3] Ὁ Εὐστάθιος ἑρμηνεύει· «Ἔστι δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν, ἐξ οὗ καὶ τρυγών, ἣν ἡ παροιμία ἐπὶ σκώμματι τῶν πολυλογούντων παραλαμβάνει, λαλιστέρους τρυγόνων τοὺς τοιούτους καλοῦσα». Ἡ λέξις εἶναι πεποιημενη. Διὰ τοῦ λόγου τούτου ὁ Ἀχιλλεὺς θέλει νὰ κόψῃ τὸν λόγον, ὅπως μὴ παρακαλέσωσιν οἱ ἄλλοι.

[4] Δηλοῖ τὸν ἔσχατον βαθμὸν τοῦ μίσους, ὡς ἐν Γ 454. Ἡ παραβολὴ εἶναι καλή, ἣν ἐπεξηγεῖ ὁ Σχολιαστής· «Διὰ τὸ κρυψίνουν καὶ τὸ τοῦ νοὸς σκοτεινὸν Ἅδῃ παρεικάζει τὸν ἐπὶ κακῷ κρυπτόν».

[5] Ὁ μὲν Ὀδυσσεὺς παρώτρυνε τὸν Ἀχιλλέα, ὅπως ἐλεήσῃ τοὺς Παναχαιοὺς (301), οὗτος δὲ τοὺς αὐτοὺς ὀνομάζει Δαναοὺς ἐκ τῶν κατ' ἐξοχὴν ὑπηκόων τοῦ Ἀγαμέμνονος. Θεωρεῖ δὲ ὡς ἐνόχους πάντας τοὺς Ἀχαιοὺς ἅτε μὴ κωλύσαντας τὴν βίαν τοῦ ἡγεμόνος, Α 299.

[6] Ὡς ἐκ τῶν ὑστέρων ἐδείχθη. Τὸ νὰ μάχωμαι δὲν ἦτο ἀντικείμενον εὐγνωμοσύνης.

μάρναθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς [1] αἰεί.
ἴση μοῖρα [2] μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι [3].
ἐν δὲ ἰῇ [4] τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
κάτθαν' [5] ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.320
οὐδέ τί μοι περίκειται [6], ἐπεὶ πάθον ἄλγεα θυμῷ,
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος [7] πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆσι [8] νεοσσοῖσι προφέρῃσιν
μάστακ' [9], ἐπεί κε λάβῃσι, κακῶς [10] δ' ἄρα οἱ πέλει αὐτῇ,

[1] Ἀδιαλείπτως. Ὁ Εὐστάθιος παρατηρεῖ· «Καὶ ὅρα ὡς ἡρμήνευσε τὸ νωλεμὲς διὰ ταὐτοσήμου τοῦ αἰεί. Ἔστι δὲ καὶ ἀττικὸν τὸ σχῆμα, ὅμοιον τῷ, λίαν πάνυ, καὶ τοῖς τοιούτοις».

[2] Ἴσον δίκαιον, ἴση τιμή, ἴση ἀμοιβὴ ὑπάρχει εἰς τὸν μὴ πολεμοῦντα καὶ εἰς τὸν πολεμοῦντα. Τὸ μένοντι πληρέστερον ἤθελεν εἶναι, μένοντι ὄπισθε, ὡς ἐν στίχ. 332 ἢ ἀπὸ πτολέμοιο, ὡς ἐν Σ 64.

[3] Ἡ πρότασις αὕτη κεῖται ἀντὶ δοτικῆς πολεμίζοντι, ἣν ἀπαιτεῖ τὸ ἴση.

[4] Ἐν ᾧ ἡ ὀνομαστικὴ εἶναι ἴος, ἴη, ἴον, ἐν τῇ γενικῇ καὶ δοτικῇ καταβιβάζεται ὁ τόνος. Ὀρθῶς ἑρμηνεύει ὁ Σχολιαστής· «Ἐν δὲ τῇ αὐτῇ τιμῇ καὶ ὁ δειλὸς καὶ ὁ ἀνδρεῖος».

[5] Γνωμικὸς ἀόριστος. Ἡ γνώμη αὕτη ὡς μὴ ἁρμόζουσα ἐνταῦθα θεωρεῖται ὡς μεταγενεστέρα προσθήκη. Δύναται ὅμως νὰ νοηθῇ ὡς ἐπέκτασις τῆς ἰδέας τῆς ἀδιαφορίας πρὸς τὸν ἀγαθόν.

[6] Κατὰ τὸν Εὐστάθιον· «Ἀντὶ τοῦ περισσόν τι καὶ ὡς χειμήλιον κεῖται».

[7] Ἐκθέτων τὴν ζωήν μου εἰς κίνδυνον, ὡς ψυχὰς παρθέμενοι γ 74 καὶ ι 255 σφὰς παρθέμενοι κεφαλὰς δ 237.

[8] Ὁ Παραφραστὴς ἑρμηνεύει· ἱπτασθαι μὴ δυναμένους, ἀπτέρους. Ἡ παραβολὴ αὕτη τὸν μὲν Ἀχιλλέα λίαν ἐξαίρει τοὺς δὲ Ἀχαιοὺς λίαν ταπεινοῖ, ὡς ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ τῆς κηδεμονίας αὔξει τὴν ῥώμην, τοσοῦτον προὔχειν φάσκων Ἑλλήνων, ὅσον μήτηρ νεοσσῶν».

[9] Τινὲς θεωροῦσι δοτικὴν καὶ ἄλλοι αἰτιατικήν, ὅπερ πιθανώτερον· διότι ἂν ληφθῇ ὡς δοτικὴ (ὀργανική), δέον νὰ ἐννοήσωμεν ἔξωθεν τὸ ἀντικείμενον. Οἱ γλωσσογράφοι τὴν λέξιν μάστακα ἐξήγουν ἀκρίδα, ὅπερ ὑπό τε τῶν ἀρχαίων καὶ νεωτέρων δὲν ἐπιδοκιμάζεται. Κατὰ τὸν Döderlein ἡ λέξις εἶναι συγγενὴς τοῦ μασᾶσθαι, ἔχει δὲ ἐνεργητικὴν

ὡς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον [1],
ἥματα δ' αἱματόεντα [2] διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος [3] ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλεις [4] ἀλάπαξ' ἀνθρώπων,
πεζὸς [5] δ' ἔνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·

καὶ παθητικὴν σημασίαν καὶ κατ' ἐκείνην μὲν σημαίνει τὸ στόμα (ὅπερ μασᾶται), κατὰ ταύτην δὲ τὸ μάσημα ἢ τὴν μεμασημένην τροφήν, ὡς ἐνταῦθα.

[10] Ἡ πρότασις αὕτη, ἥτις περιέχει τὸ κύριον σημεῖον τῆς παραβολῆς, κατέστη ἀνεξάρτητος τῆς προηγουμένης. Ἡ παροχὴ τροφῆς εἰς τοὺς νεοσσοὺς γίνεται ἐπὶ κακῷ τῆς μητρός, διότι στερεῖται τῆς ἀναγκαίας τροφῆς.

[1] Πολλὰς νύκτας ἄϋπνος διῆγον· τὸ ἴδιον πάθος εἰς τὰς νύκτας μετήνεγκεν.

[2] Ἥματα αἱματόεντα λέγονται αἱ ἡμέραι, ἐν αἷς χύνεται πολὺ αἷμα. Ἐπεξηγεῖται δὲ ἡ τολμηρὰ φράσις διὰ τοῦ πολεμίζων.

[3] Ἐπεξηγεῖ τὸ πολεμίζων. Ἐνταῦθα γεννᾶται τὸ ζήτημα, ἂν ἐννοῇ ἑλληνικὰς ἢ Τρωικὰς γυναῖκας. Ὁ Εὐστάθιος δεχόμενος τὸ πρῶτον περιπίπτει εἰς δυσκολίαν· «Ὅτι θυμούμενος ὁ Ἀχιλλεὺς λέγει τι καὶ παρὰ τὴν ἀλήθειαν ἐν τῷ εἰπεῖν μάχεσθαι αὐτὸν τοῖς Τρωσὶν ἕνεκα τῶν ἑλληνικῶν γυναικῶν. Πάντως γὰρ διὰ μίαν τὴν Ἑλένην ἐμάχετο, οὐ διὰ πολλάς». Τὴν αὐτὴν ἑρμηνείαν δέχεται καὶ ὁ Koch ἐννοῶν διὰ μὲν τοῦ ἀνδράσι τὸν Μενέλαον διὰ δὲ τοῦ ὀάρων τὴν Ἑλένην, ὅπερ ἀπίθανον. Διότι καὶ τὰ πληθυντικὰ δὲν ἁρμόζουσιν ἐνταῦθα καὶ ἡ ὁστικὴ ἀνδράσι παρὰ τῷ μάρνασθαι δηλοῖ τοὺς πολεμίους καὶ οὐχὶ τοὺς συμμάχους, οἷος ὁ Μενέλαος. Ὥστε σημαίνει, μαχόμενος οὐχὶ ὑπὲρ τῶν ἀνδρῶν, ἀλλὰ κατὰ τῶν ἀνδρῶν ἕνεκα τῶν γυναικῶν των. Ὁ λόγος εἶναι περὶ τῶν αἰχμαλωτίδων, ἃς ἐκπορθῶν πόλεις ὁ Ἀχιλλεὺς ἐλάμβανε λάφυρα καὶ αἵτινες ἐδίδοντο τοῖς ἀρίστοις τῶν Ἀχαιῶν. Τοιαύτη ἦτο ἡ Χρυσηΐς, ἡ Βρισηΐς, ἡ Διομήδη καὶ ἡ Ἴφις, ἣν ὁ Ἀχιλλεὺς ἐδωρήσατο τῷ Πατρόκλῳ Ι 667. Ἡ ἑρμηνεία αὕτη ἁρμόζει καὶ εἰς τὸ ἑπόμενον χωρίον, ἐν ᾧ ἀριθμεῖ τὰς πόλεις, ἃς ἐξεπόρθησε καὶ ἐξ ὧν ἔλαβε γυναῖκας.

[4] Τινὰς τῶν πόλεων τούτων ὀνομάζει ὁ ποιητής, ὡς τὴν Θήβην 366, Β 691, τὴν Λυρνησσὸν Β 691, Τ 296 τὴν Πήδασον Υ 91, τὴν Τένεδον Λ 625, τὴν Λέσβον Ι 129 καὶ τὴν Σκῦρον Ι 668.

[5] Ἀντὶ τοῦ ἀναφορικοῦ σχήματος, ἔνδεκα δὲ πεζός, μετεχειρίσθη τὸ χιαστόν. Εἰς τὸ

τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλά
ἐξελόμην [1], καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρεΐδῃ· ὁ δ' ὄπισθε [2] μένων παρὰ νηυσὶ θοῇσιν
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
ἄλλα [3] δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσιν·
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον [4] θυμαρέα· τῇ παριαύων [5]
τερπέσθω. τί δὲ δεῖ [6] πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας

φημι ἐννοεῖται ἐκ τοῦ προηγουμένου στίχου τὸ ἁλαπάξαι.

[1] Ὅρα, ὅτι ἐνταῦθα μὲν εἶπε τὸ ῥῆμα κατ' ἀόριστον, ἐν δὲ τοῖς ἑπομένοις κατὰ παρατατικὸν πρὸς δήλωσιν τοῦ εἰς ἑκάστην περίσασιν. Ἐνταῦθα δὲν ἦτο ἀναγκαία τοιαύτη δήλωσις ἕνεκα τοῦ ἐκ πασέων.

[2] Ἐπειδὴ πρόκειται περὶ στρατηγοῦ, τὸ ὄπισθε μένειν ἐλέγχει δειλίαν. Ὁ λόγος ἔχει πολλὴν πικρὰν εἰρωνείαν.

[3] Εὐφυῶς ὁ Bekker διορθοῖ εἰς ἄσσα, ὡς καὶ ἐν στίχ. 367. Ἡ διόρθωσις δὲν εἶναι ἀτυχὴς καὶ ἠδύνατο νὰ εἰσαχθῇ εἰς τὸ κείμενον, ὡς ποιεῖ ὁ Koch. Ἄριστοι εἶναι οἱ ὑπὸ τοὺς βασιλεῖς διοικηταὶ μικροτέρων στρατιωτικῶν σωμάτων. Τὸ γέρα κεῖται κατηγορηματικῶς..

[4] Δὲν σημαίνει τὴν νόμιμον σύζυγον, ἥτις εἶναι κουριδίη ἄλοχος, ἀλλὰ τὴν παλλακίδα. Ὅρα σημ. εἰς Α 114. Θυμαρὴς ἄλοχος λέγεται ἡ ἀρέσκουσα εἰς τὴν ψυχήν, ἡ ἀγαπητή.

[5] Παρὰ ταύτῃ κοιμώμενος, παρακαθεύδων.

[6] Τὸ ἀπρόσωπον δεῖ μόνον ἐνταῦθα ἀπαντᾷ παρ' Ὁμήρῳ, ἀλλαχοῦ δὲ ὑπάρχει τὸ χρή, χρεώ ἐστιν. Ἀλλὰ διὰ τί πρέπει νὰ πολεμῶσιν οἱ Ἀργεῖοι ἐναντίον τῶν Τρώων; Τὸ ἐπιχείρημα τοῦτο τοῦ Ἀχιλλέως εἶναι ἰσχυρόν· διότι δεικνύει, ὅτι ὁ Ἀγαμέμνων ἀφελὼν τὴν Βρισηΐδα ἀπὸ τοῦ Ἀχιλλέως τὴν αἰτίαν τοῦ Τρωϊκοῦ πολέμου ἐμηδένισεν. Ὀρθῶς δὲ ὁ Σχολιαστὴς παρατηρεῖ· «Πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνομα ἢ ἀσύνετον ἢ ἄδικον. Εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης· ἀσύνετος οὖν ἐστι περὶ μικρᾶς αἰτίας πολεμῶν. Εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπ' ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει;»

Ἀτρείδης ; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο ;
ἦ μοῦνοι [1] φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεῖδαι ; ἐπεὶ [2] ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
τὴν αὐτοῦ [3] φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τήν
ἐκ θυμοῦ [4] φίλεον, δουρικτητήν περ ἐοῦσαν.
νῦν δ' [5] ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτησεν,
μή μευ πειράτω [6] εὖ εἰδότος· οὐδέ με πείσει.
ἀλλ', Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσιν
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ [7] πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
ἀλλ' οὐδ' ὡς [8] δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο

[1] Τοῦτο λέγει ὁ Ἀχιλλεὺς σαρκαστικῶς. Καθιστῶν τὸ πρᾶγμα γενικὸν δεικνύει, ὅτι ἔγκειται τῇ ἀνθρωπίνῃ φύσει, ἵνα ἕκαστος ἀγαπᾷ τὴν ἑαυτοῦ γυναῖκα.

[2] Αἰτιολογεῖ τὴν ἄρνησιν τὴν ἐξαγομένην ἐκ τῆς ἡγουμένης ἐρωτήσεως. Τὸ ἀγαθὸς καὶ ἐχέφρων εἶναι κατηγορούμενα.

[3] Δηλαδὴ ἄλοχον, ὅπερ νοεῖται ἐκ τῶν ἡγουμένων. Ὁ Σχολιαστὴς λέγει· «Πτολεμαῖος δασύνει, νομίζων τὸ πλῆρες εἶναι ἑαυτοῦ, ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ». Τὸ ἀντικείμενον τοῦ κήδεται εἶναι τὸ αὐτὸ τοῦ προηγουμένου ῥήματος νοούμενον κατὰ γενικήν.

[4] Ἐκ καρδίας, ἐκ ψυχῆς μέσης. Δουρικτητὴν = αἰχμάλωτον.

[5] Ὁ Ἀγαμέμνων ἔπρεπε νὰ σεβασθῇ τὴν τοῦ Ἀχιλλέως ἀγάπην πρὸς τὴν γυναῖκα. Τώρα ὅμως δὲν ἐσεβάσθη ταύτην, ἀλλ' ἀφείλετο τὴν γυναῖκα καὶ οὕτως ἠπάτησε τὸν Πηλείδην, διότι στρατευόμενος ἐπὶ τὴν Τροίαν εἰκόνισεν ἑαυτὸν ὡς δῆθεν προσβληθέντα διὰ τὴν ἁρπαγὴν τῆς γυναικὸς τοῦ ἀδελφοῦ.

[6] Ἂς μή με δοκιμάζῃ, ἐν ᾧ γνωρίζω αὐτὸν καλῶς. Ὁ Ἀγαμέμνων ἂς παύσῃ δοκιμάζων με, διότι δὶς δὲν θέλει μ' ἀπατήσει.

[7] Ταῦτα λέγει εἰρωνικῶς· συνήθως δὲ οἱ εἰρωνευόμενοι ἐξαίρουσιν ἐκεῖνα, ὧν καταφρονοῦσιν.

[8] Ἀλλὰ καὶ τοιουτοτρόπως, δηλ. ἂν καὶ ἔλαβε τοσαύτας προφυλάξεις, δὲν δύναται νὰ κρατήσῃ τὸν ἰσχυρὸν ἀνδροφόνον Ἕκτορα.

ἴσχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον,
οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος [1] ὀρνύμεν Ἕκτωρ,
ἀλλ' ὅσον [2] ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
ἔνθα ποτ' οἷον [3] ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν. 355
νῦν δ' ἐπεὶ οὐκ ἐθέλω [4] πολεμιζέμεν Ἕκτορι δίῳ,
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσιν,
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
ὄψεαι [5], ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
ἦρι μάλ' [6] Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας 360
νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
εἰ δέ κεν εὐπλοίην [7] δώῃ κλυτὸς ἐννοσίγαιος,
ἤματί κε τριτάτῳ [8] Φθίην ἐρίβωλον ἱκοίμην.
ἔστι δέ μοι μάλα πολλά [9], τὰ κάλλιπον ἐνθάδε ἔρρων [10].

[1] Μακρὰν τοῦ τείχους, τοῦ φρουρίου.

[2] = Τοσοῦτον ὅσον ἐστίν ἐς.

[3] Ὁ Ὅμηρος τὸ οἷον δὲν μεταχειρίζεται ὡς ἐπίρρημα. Διὰ τοῦτο εἶναι ἐπίθετον ἀναφερόμενον εἰς τὸ μέ, ὅπερ νοεῖται.

[4] Τοῦτο λέγει ὁ ἥρως ἐν σχέσει πρὸς τὸν λόγον τοῦ Ὀδυσσέως (ἐν στίχ. 304), ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «Ὅτι τοῦ Ὀδυσσέως πρὸ ὀλίγων εἰπόντος τῷ Ἀχιλλεῖ, ὡς νῦν τὸν Ἕκτορα ἕλῃς, ὁ Ἀχιλλεὺς πάνυ δεινῶς τὸν λόγον μεταχειριζόμενος οὐ μόνον λέγει ὡς οὐκ ἐθέλει πολεμεῖν, ἀλλὰ καὶ ὡς αὔριον ἀποπλεύσει».

[5] Εἶναι ἀναχόλουθον, διότι ἐνταῦθα περιμένομεν τὸ ῥῆμα κατὰ πρῶτον πρόσωπον, ὡς εἶναι καὶ αἱ προηγούμεναι μετοχαί. Ὁ Εὐστάθιος τὸ σολοικοφανὲς ἀποδίδει εἰς τὸν θυμὸν τοῦ Πηλείδου. Ἔλειπε δὲ τὸ ἀνακόλουθον, ἂν ὁ ποιητὴς ἔλεγε, πλευσοῦμαι σὺν νηυσὶ ἐμαῖς καὶ ἀνδράσι.

[6] Λίαν πρωί. Κατὰ τὸν Gladstone Ἑλλήσποντος δὲν σημαίνει μόνον τὸ στενόν, ἀλλ' ἔχει εὐρυτέραν σημασίαν. Παράβαλλ. Η 86.

[7] Καλὸν καιρὸν πρὸς θαλασσοπλοΐαν.

[8] Ὁ Διομήδης τὴν τετάρτην ἡμέραν ἔφθασεν εἰς τὴν Πελοπόννησον ἐκ τῆς μικρᾶς Ἀσίας, γ 180.

[9] Ταῦτα λέγει ἐν ἀντιθέσει πρὸς τὰ ὑπὸ τοῦ Ἀγαμέμνονος διδόμενα δῶρα.

[10] Τὰ ὁποῖα κατέλιπον ἐδῶ πρὸς φθορὰν ἐρχόμενος.

ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρόν [1] 365
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον
ἄξομαι, ἅσσ' ἔλαχόν [2] γε· γέρας δέ μοι, ὅσπερ ἔδωκεν,
αὖτις ἐφυβρίζων [3] ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης. — τῷ πάντ' ἀγορευέμεν, ὡς ἐπιτέλλω,
ἀμφαδόν [4], ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί, 370
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξεπατήσειν,
αἰὲν ἀναιδείην ἐπιειμένος [5]· — οὐδ' ἂν ἐμοί γε
τετληίη, κύνεός περ ἐών, εἰς ὦπα ἰδέσθαι.
οὐδέ [6] τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον [7]·
ἦ γὰρ [8] δή μ' ἀπάτησε καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτις 375
ἐξαπάφοιτ' [9] ἐπέεσσιν· ἄλις δέ οἱ [10]. ἀλλὰ ἔκηλος

[1] Μόνον ἐνταῦθα ὁ χαλκὸς λέγεται ἐρυθρός, ἀλλαχοῦ δὲ αἰθοψ, ἠνοψ καὶ νῶροψ.

[2] Ὅσα ἐν τῇ διανομῇ τῶν λαφύρων διὰ κλήρου ἔλαβον. Ὅρα Α 125 καὶ 368. Τούτων διάφορον ἦτο τὸ γέρας, ὅπερ μόνον οἱ ἡγεμόνες ἐλάμβανον.

[3] Ὑπό τινων ἐγράφετο καὶ ἐνυβρίζων.

[4] Μετ' ἐμφάσεως κεῖται ἐν ἀρχῇ τοῦ στίχου. Τὸ ἐπισκύζωνται ὁ Παραφραστὴς ἑρμηνεύει ὀργίζωνται.

[5] Ὅρα Α 149, ὅπου ἡ φράσις ἑρμηνεύεται. Τὸ ἐμοί γε ποιεῖ ἀντίθεσιν πρὸς τὸν προηγούμενον στίχον. δηλ. ἐλπίζει, ὅτι θέλει ἐξαπατήσει κανένα ἐκ τῶν Δαναῶν, ἐμὲ τοὐλάχιστον ὅμως δὲν δύναται νὰ ἴδῃ κατὰ πρόσωπον, καίπερ ὢν ἀναιδής.

[6] Ἐντεῦθεν κυρίως ἡ ἀπόκρισις πρὸς τὴν πρεσβείαν.

[7] Κατὰ ζεῦγμα συνάπτεται μετὰ τοῦ συμφράσσομαι, ἐξ οὗ ἐννοεῖται τὸ συμπράξω.

[8] Αἱ βραχεῖαι προτάσεις εἰκονίζουσι τὴν ὀργὴν τοῦ Ἀγαμέμνονος, ὡς λέγει ὁ Σχολιαστής· «Παρατηρητέον, ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον διακοπτόμενοι· ἡ γὰρ ὀργὴ μᾶλλον παρίσταται διὰ τοῦ τοιούτου. Ἐν γοῦν τοῖς τέσσαρσι στίχοις ἐφεξῆς ὀκτὼ εἰσὶν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαί». Εἰς τὸ ἤλιτεν ἐννοεῖται ἡ αἰτιατικὴ, με, δηλ. ἥμαρτον εἰς ἐμέ.

[9] Ἀόριστος β' τοῦ ἐξαπαφίσκω· καὶ δὲν δύναται πλέον πάλιν νὰ μ' ἐξαπατήσῃ (γελάσῃ) μὲ λόγους.

ἐρρέτω· ἐκ γὰρ εὖ [1] φρένας εἵλετο μητίετα Ζεύς.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν [2] ἐν καρὸς αἴσῃ.

[10] Ἐννοεῖται τὸ ἐστὶ καὶ οὐχὶ τὸ ἔστω. Τὸ ἔκηλος σημαίνει ἥσυχος, μὴ πειρώμενος ἐμοῦ.

[1] Ἡ κοινὴ γραφὴ εἶναι εὖ, ἀλλ' ὁ La Roche παρατηρεῖ, ὅτι ἡ ὀρθοτονουμένη ἀντωνυμία τοῦ τρίτου προσώπου εἶναι πάντοτε αὐτοπαθής. Ἐπειδὴ λοιπὸν ὁ ποιητὴς δὲν θέλει νὰ εἴπῃ, ὅτι ὁ Ζεὺς ἀφήρεσε τὰς ἑαυτοῦ, γράφει εὖ, δηλ. ἄτονον. Καὶ ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ λέγεται, τοῦ ἐπῆρε ὁ θεὸς τὰ μυαλὰ ἢ τὴν γνῶσι.

[2] Οἱ ἑρμηνευταὶ διαφωνοῦσι, ποῦ ἀναφέρεται τὸ μὶν, π. χ. ὁ Koch καὶ ὁ Ameis ἀναφέρουσιν εἰς τὸ δῶρα, ὡς ἐν κ 212 καὶ ρ 268 (ἔνθα τὸ μὶν ἀναφέρεται εἰς τὸ δώματα), ὁ δὲ Duentzer εἰς τὸν Ἀγαμέμνονα. Τὸ πρῶτον φαίνεται πιθανώτερον, ἂν εἰκάσῃ τις ἐκ τῶν ἑπομένων, ἐν οἷς ὁ λόγος περὶ χρημάτων καὶ οὐχὶ περὶ προσώπου. Ἀλλ' ἔτι πλείονας διαφωνίας παρά τε τοῖς ἀρχαίοις καὶ νεωτέροις ἤγειρεν ἡ λέξις καρός. Κατὰ τὸν Εὐστάθιον Ἀμερίας καὶ Νεοπτόλεμος οἱ γλωσσογράφοι ἔλεγον, ὅτι σημαίνει «ἐν μισθοφόρου τίθεμαι τάξει καὶ ἶσον αὐτὸν ἔχω Καρὶ ἀνδρί», διότι ἐλοιδοροῦντο οἱ Κᾶρες ὡς πρῶτοι μισθοφορήσαντες. Ἀλλ' ἀντεῖπον ἄλλοι, ὅτι οἱ Κᾶρες δὲν ἐμισθοφόρησαν πρὸ τῶν Τρωικῶν οὐδὲ πρὸ τοῦ Ὁμήρου. Τινὲς ἔγραψαν ἔγχαρος αἴσῃ, ἐκ τῆς ὀνομαστικῆς ἔγχαρ = φθείρ· ἄλλοι ἐνόησαν τὸν ἐγκέφαλον, ὃν δὲν ἔτρωγον οἱ Ἀθηναῖοι, καὶ ἄλλοι παράγοντες ἐκ τοῦ χείρω ἐννοοῦσι τὴν τρίχα τῆς κεφαλῆς. Ὁ δὲ Λυσανίας ὁ Κυρηναῖος, ὁ Ἀριστοφάνης καὶ ὁ Ἀρίσταρχος λέγουσιν, ὅτι εἶναι ἐνκηρὸς μοίρα. Ἀλλὰ κατὰ τὸν La Roche δὲν δύναται νὰ ἦναι οὔτε Καρός, οὔτε κηρός, διότι ἐνταῦθα τὸ α εἶναι βραχύ, ἐν ᾧ τὸ Καρὸς ἔπρεπε νὰ ἔχῃ μακρὸν (Β 867 καὶ Κ 428), ὡς καὶ ἂν ἦτο ἀντὶ τοῦ κηρός. Τὴν προσωδιακὴν ταύτην δυσκολίαν πειρᾶται νὰ ἄρῃ ὁ Döderlein ὑποθέτων ἄχρηστον ὀνομαστικὴν κάρς = κήρ, ὡς χὲρς καὶ χείρ· κατὰ τοῦτο ἡ γενικὴ εἶναι καρός, ὡς χερός. Λοιπὸν οὗτος ἑρμηνεύει, μισῶ ὡς τὸν θάνατον, ὡς Γ 454 καὶ ρ 500· διότι παρατηρεῖ, ὅτι παραβολὴ πρὸς τρίχα, φθεῖρα καὶ Κᾶρα δηλοῖ περιφρόνησιν, ἐν ᾧ τὸ πάθος τοῦ Ἀχιλλέως εἶναι μῖσος. Ὁ Ἀγαμέμνων μετεχειρίσθη βίαν, ἡ δὲ βία ἐγείρει μῖσος καὶ ὀργὴν καὶ οὐχὶ περιφρόνησιν. Νομίζομεν ὅμως, ὅτι συχνάκις ἡ ὀργὴ καὶ τὸ μῖσος ἐκδηλοῦνται καὶ ἐν τῇ περιφρονήσει· πρὸς τούτῳ παρατηροῦμεν, ὅτι κατὰ τὴν ἑρμηνείαν ταύτην ἥκιστα ἁρμόζει

οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις [1] τόσα δοίη,
ὅσσα τέ οἱ νῦν ἐστί, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ' [2] ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας [3]
Αἰγυπτίας [4], ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
αἵθ' ἑκατόμπυλοί [5] εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
ἀνέρες ἐξοιχνεῦσι [6] σὺν ἵπποισιν καὶ ὄχεσφιν·
οὐδ' εἴ μοι τόσα δοίη ὅσα [7] ψάμαθός τε κόνις τε,
οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει' [8] Ἀγαμέμνων,

τὸ τίω. Δὲν σημαίνει λοιπὸν τιμῶ ἴσον μὲ τὸν θάνατον, ἀλλὰ τιμῶ τὰ δῶρά του ἴσον μὲ τὸ τίποτε· διότι περὶ τούτου πρόκειται, ὡς μαρτυροῦσιν οἱ ἑπόμενοι στίχοι.

[1] Ἡ πρὸς τὸν Ἀγαμέμνονα περιφρόνησις τοῦ Ἀχιλλέως ἐκδηλοῦται καὶ ἐν ταῖς ὑπερβολαῖς, ἃς συνήθως μεταχειρίζονται οἱ ὀργιζόμενοι.

[2] Βραχυλογικῶς ἀντὶ νὰ εἴπῃ· οὐδ' εἴ μοι δοίη ὅσα. Ὁ ποιητὴς δὲν ἐννοεῖ τὸν Ἀρκαδικὸν Ὀρχομενόν, ἀλλὰ τὸν Βοιωτικόν, ὅστις καὶ Μινύειος λέγεται καὶ διὰ τὸν πλοῦτον ἦτο πολυθρύλητος. Ὄρα Β 511. Προσνίσσεται = εἰσέρχεται, εἰσάγεται, προσοδεύται. Κατὰ τόν Ameis πρόκειται περὶ τῶν πλουσίων φόρων, οἵτινες εἰς τὸν θησαυρὸν τῶν βασιλέων εἰσέρρεον.

[3] Ἐνταῦθα ὑπῆρχον τὰ βασίλεια τῆς ἄνω Αἰγύπτου καὶ ἐνταῦθα πολλοὺς ἀνῆγον φόρους οἱ Αἰγύπτιοι, οἱ Λίβυες, οἱ Αἰθίοπες καὶ ἄλλα ἔθνη. Βραδύτερον ἐλέγετο Διόσπολις ἢ Διὸς πόλις.

[4] Τὸ ὄνομα ἀναγνωστέον τρισυλλάβως, διότι τὸ υ δὲν δύναται νά ἦναι βραχὺ πρὸ τοῦ πτ. Μετεχειρίσθη δὲ τὸ ἐπίθετον πρὸς διαστολὴν τῶν ἄλλων πόλεων τῶν ἐχουσῶν τὸ αὐτὸ ὄνομα.

[5] Ἴσως ὁ ποιητὴς χρῆται στρογγύλῳ ἀριθμῷ, ὡς καὶ ἐν τῷ Κρήτῃ ἑκατόμπολις, Β 649.

[6] Ἐξέρχονται. Ἐπειδὴ δὲ δι' ἑκάστης πύλης ἐξέρχονται διακόσιοι ἄνδρες, ἐκ τῆς ὅλης πόλεως 20,000. Ἂν μὲν ἐφ' ἑκάστου ἅρματος ὑπάρχωσι δύω ἄνδρες, ὁ ὅλος ἀριθμὸς τῶν ἁρμάτων εἶναι 10,000· ἂν ὅμως εἷς, 20,000 ἅρματα, ὅπερ μαρτυρεῖ οὐχὶ τὸ πλάτος τῶν πυλῶν, ἀλλὰ τὸ μέγεθος τῆς πόλεως.

[7] Ὁ Düntzer παρὰ τὴν παράδοσιν γράφει ὅση, ὅπως διατηρήσῃ τὴν ἔλξιν, ἥτις ὑπάρχει παρ' Ὁμήρῳ. Ψάμαθος εἶναι ἡ παρὰ τὴν θάλασσαν ἄμμος, κόνις δὲ ἡ πεδιὰς ἄμμος.

[8] Πολλὰ χειρόγραφα ἔχουσι πείσει', ὁ δὲ Spitzner δέ-

πρὶν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι [1] θυμαλγέα λώβην.
κούρην δ' οὐ γαμέω [2] Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι [3],
ἔργα [4] δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι· 390
οὐδέ μιν ὡς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅστις οἱ [5] τ' ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν.
ἤν γὰρ δή με σόωσι [6] θεοὶ καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύς θήν [7] μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.

χεται πείσει, ὅπερ εὕρηται ἔν τισι χειρογράφοις. Τὴν γραφὴν ταύτην προτιμᾷ ὁ La Roche, διότι ἡ εὐκτικὴ παρέχει ἔννοιαν μετριωτέραν καὶ ἧττον ἁρμόζουσαν τῷ ὠργισμένῳ Ἀχιλλεῖ.

[1] Πρὶν πληρώσῃ εἰς ἐμὲ ὁλόκληρον τὴν ὕβριν, ἡ ὁποία ἦτο ἀρεστὴ εἰς αὐτόν. Ὁ Σχολιαστὴς παρατηρεῖ· «ἠρέμα ὑπώλισθεν εἰς τὸ ἀληθές, καὶ ἐκκόψας τὴν ἐλπίδα πάλιν αὐτοῖς ὥρισε πρόστιμον τὴν τοῦ ἐχθροῦ ποινήν». Ἐπειδὴ ὅμως ἡ ὑποχώρησις αὕτη δὲν ἁρμόζει εἰς τὸν ὠργισμένον Ἀχιλλέα, ὑπό τινων ἀθετεῖται ὁ στίχος, ὡς ὑπὸ τοῦ Helbig. Ὁ Ameis πειρᾶται νὰ σώσῃ τοῦτον λέγων, ὅτι αἱ τέως ἥτται τῶν Ἀχαιῶν ἦσαν μᾶλλον ἠθικαί, εἰς ἃς δὲν ἀρκεῖται ὁ Ἀχιλλεύς. Οὗτος ἐπιθυμεῖ, ἵνα οἱ Τρῶες εἰσβάλωσιν εἰς τὰ τείχη καὶ ἀπειλήσωσιν αὐτὰς τὰς ναῦς. Παράβαλλ. Α 408—412, Π 66 καὶ 237 καὶ Σ 74.

[2] Μέλλοντος χρόνου, ὡς καὶ ἐν στίχ. 391.

[3] Ὅρα, ὅτι καὶ παρ' Ὁμήρῳ ἁπαντῶσι πάρισα, ἅπερ συχνὰ μετεχειρίσθη βραδύτερον ὁ Γοργίας.

[4] Ἡ Ἀθηνᾶ εἶναι διδάσκαλος πάσης τέχνης, Ε 61.

[5] Ὁ La Roche τονίζει οἱ, διότι δὲν εἶναι αὐτοπαθής, ἀλλὰ κεῖται ἀντὶ τοῦ αὐτῷ. Ὁ Ἀχιλλεὺς παραινῶν, ἵνα ὁ Ἀγαμέμνων ποιήσῃ γαμβρὸν βασιλεύτερον, εἰρωνεύεται πικρῶς τὸν Ἀτρείδην σεμνυνόμενον, ὅτι ἄρχει πλειόνων Α 186. Καὶ ὁ Νέστωρ λέγει περὶ τοῦ Ἀτρείδου ἐν Α 281 «Ἀλλ' ὅ γε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει».

[6] Ἀντὶ σαόωσι.

[7] =Δήπου· δηλοῖ βεβαίαν προσδοκίαν. Ἐν τῷ ἡρωϊκῷ αἰῶνι, ὡς καὶ ἐν παντὶ ὁμοίῳ, ὁ πατὴρ ἐφρόντιζε περὶ τῆς νύμφης τοῦ παιδός, δ 10 «Υἱεῖ δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην». Τὸ γαμέσσεται σημαίνει, θέλει λάβει γυναῖκα διὰ τὸν υἱόν. Ὁ Εὐστάθιος παρατηρεῖ· «τοῦτο δὲ ἐγγαμίζειν οἱ ὕστερον λέγουσιν, ὡς

πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα [1] Φθίην τε,
κοῦραι ἀριστήων [2], οἵ τε πτολίεθρα ῥύονται [3].
τάων ἤν κ' ἐθέλωμι, φίλην ποιήσομ' ἄκοιτιν.
ἔνθα [4] δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν [5] ἄκοιτιν,
κτήμασι τέρπεσθαι, τὰ γέρων ἐκτήσατο Πηλεύς·
οὐ γὰρ ἐμοὶ ψυχῆς [6] ἀντάξιον οὐδ' ὅσα φασίν
Ἴλιον ἐκτῆσθαι [7], εὐναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ' εἰρήνης [8], πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
οὐδ' ὅσα λάϊνος οὐδὸς [9] ἀφήτορος ἐντὸς ἐέργει,

ἄν τις εἴποι ἐκπροικίζειν». Σημειωτέον, ὅτι ὁ Ἀρίσταρχος ἔγραφε γε μάσσεται (μαίομαι=ζητῶ, γυρεύω), ὅπερ δέχονται ὁ Bekker, ὁ Faisi καὶ ὁ Ameis.

[1] Περὶ τοῦ ὀνόματος Ἑλλὰς ὅρα Β 383.

[2] Ἀριστεῖς ἐνταῦθαι εἶναι οἱ ὑποτελεῖς τῷ Πηλεῖ ἄνακτες, οἷος ἦτο ὁ Φοῖνιξ, Ι 484.

[3] Ὑπερασπίζουσι, φυλάττουσιν, εἶναι ἐρυσιπτόλιδες, Ζ 305.

[4] Προσδιορίζει τὸ γήμαντι τέρπεσθαι. Ὁ μὲν Ἀρίσταρχος τὴν μετοχὴν ἔγραφε κατὰ δοτικήν, ἄλλοι δὲ κατ' αἰτιατικήν, γήμαντα.

[5] Δηλαδὴ τὴν ἐοικυῖαν, τὴν ἁρμόζουσαν.

[6] Διότι τίποτε δὲν ἔχει ἴσην ἀξίαν μὲ τὴν ζωήν μου. Ὁ Ἀχιλλεὺς δὲν εἶναι φιλόψυχος καὶ τὴν δόξαν αὐτοῦ ὀφείλει τῇ περιφρονήσει πρὸς τὸν θάνατον. Ὅτε ἡ Θέτις εἶπε τῷ ἥρωι, ὅτι μετὰ τὸν Ἕκτορα μέλλει νὰ ἀποθάνῃ, οὗτος ἀποκρίνεται ἐν Σ 98 «αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ κτεινομένῳ ἐπαμῦναι».

[7] Ἀττικῶς κεκτῆσθαι.

[8] Τὰ πλούτη τοῦ Ἰλίου κατὰ τὸ διάστημα τοῦ μακροῦ πολέμου ἠλαττώθησαν, ὡς διαρρήδην λέγεται ἐν Σ 288 καὶ Ω 543.

[9] Λάϊνος οὐδὸς εἶναι τὸ λίθινον κατώφλιον, ὡς θ 79· ἐνταῦθα δὲ νοεῖται ὁ ὅλος ναός. Τὸ ὄνομα ἀφήτωρ πράγματα παρέχει τοῖς ἐτυμολόγοις· διότι κατά τινας παραγόμενον ἐκ τοῦ ἀφίημι σημαίνει τὸν τοξότην, κατ' ἄλλους δὲ ὂν σύνθετον ἐκ τοῦ α (ἀθροιστ.) καὶ φημὶ σημαίνει τὸν ὁμοφήτορα, τὸν εἰς πάντας διδόντα ὁμφάς, τὸν εἰς πάντας προφητεύοντα. Τινὲς ἐνόησαν διὰ τῆς φράσεως ἀφήτορος οὐδὸν θησαυρόν, ὃν ἐπεχείρησε νὰ ἀνασκάψῃ νύκτωρ ὁ Ὀνόμαρχος, ἀλλὰ σει-

Φοίβου [1] Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ. 405
λῃϊστοὶ [2] μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ [3] δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν [4] οὔτε λεϊστή
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται [5] ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεά [6], Θέτις ἀργυρόπεζα, 410
διχθαδίας κῆρας φερέμεν [7] θανάτοιο τέλοσδε.
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο [8] μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ' ἵκωμι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν [9] δέ μι αἰών 415

σμῶν γενομένων ἠναγκάσθη νὰ φύγῃ. Στράβ. 421 καὶ Διόδωρ. Σικελ. 16,56.

[1] Ὁ Ζηνόδοτος ἔγραφε, νηοῦ Ἀπόλλωνος. Πυθὼ εἶναι τὸ ἀρχαῖον ὄνομα τῶν Δελφῶν· ὅρα θ 80 καὶ λ 581.

[2] Συνήθης τρόπος τῆς κτήσεως τῶν κτηνῶν, ὡς γίνεται δῆλον ἐκ πολλῶν χωρίων Α 154, Λ 672, Σ 524 καὶ λ 402.

[3] Τρίποδας ἐν τῷ ἡρωικῷ αἰῶνι ἐλάμβανον οἱ ἥρωες ἐν τοῖς ἀγῶσι ἢ ξενιζόμενοι. Τὸ δὲ ἵππων ξανθὰ κάρηνα εἶναι περίφρασις ἀντὶ νὰ εἴπῃ, ἵπποι, ὡς Ψ 260 «ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα».

[4] Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ λεϊστὴ καὶ ἑλετή. Ὁ Εὐστάθιος ἑρμηνεύει· «ἐπανελθεῖν, ὃ παλινζωΐα καὶ παλιγγενεσία λέγεται».

[5] Ὅπόταν ἡ ψυχὴ διέλθῃ τὸ περίφραγμα τῶν ὀδόντων. Τὸ ψυχικὸν πνεῦμα ἐξέρχεται διὰ τοῦ στόματος· ἔκ τινων ὅμως χωρίων γίνεται δῆλον, ὅτι τῶν τρωθέντων ἔξεισι διὰ τοῦ τραύματος Ξ 518 καὶ Π 505.

[6] Παράθεσις εἰς τὸ μήτηρ· ὡς θεὰ δύναται νὰ γινώσκῃ τὸ μέλλον συμβῆναι.

[7] Ἀντικείμενον τοῦ φερέμεν εἶναι τὸ με, ὅπερ ἐτέθη ἐν τῷ ἡγουμένῳ στίχῳ. Καὶ ὁ μάντις Πολυΐδος μαντεύεται τῷ υἱῷ Εὐχήνορι, ὅτι μέλλει ἢ νὰ φθαρῇ ἐν τοῖς μεγάροις ὑπὸ δεινῆς νόσου ἢ ἐν Τροίᾳ ὑπὸ τῶν πολεμίων Ν 666.

[8] Ὁ ἀόριστος κεῖται πρὸς δήλωσιν τοῦ βεβαίου. Ὁ νόστος ἀλλαχοῦ λέγεται νόστιμον ἦμαρ· ὅρα στίχ. 168.

[9] Μόνον ἐνταῦθα ὑπάρχει τὸ

ἔσσεται [1], οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.
καὶ δ' ἂν τοῖς ἄλλοισιν [2] ἐγὼ παραμυθησαίμην
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε [3] τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἔθεν εὐρύοπα Ζεύς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι [4] δὲ λαοί.
ἀλλ' ὑμεῖς μὲν ἴοντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε [5] — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κε σφιν νῆάς τε σόῳ [6] καὶ λαὸν Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδε [7] γ' ἑτοίμη,

ἐμπρόθετον, διότι ἄλλοθι ἁπαντᾷ μόνον δηρόν. Αἰὼν εἶναι ἡ διάρκεια τῆς ζωῆς, ὁ βίος.

[1] Ἐπειδὴ ὁ στίχος οὗτος περιέχει μόνον ἐπανάληψιν τῆς ἐννοίας τοῦ προηγουμένου, οἱ ἀρχαῖοι ἠθέτουν τοῦτον νομίζοντες, ὅτι προσετέθη ὑπό τινος θέλοντος νὰ προσθέσῃ ῥῆμα εἰς τὸν προηγούμενον· τοῦτο ὅμως δύναται νὰ νοηθῇ.

[2] Εἶναι ἀρσενικοῦ γένους, δηλ. καὶ τοὺς ἄλλους δὲ βασιλεῖς ἐγὼ δύναμαι νὰ προτρέψω νὰ ἀποπλεύσωσιν εἰς τὴν πατρίδα των.

[3] Εἰς τοὺς ἄλλους βασιλεῖς ἀνήκουσι καὶ οἱ πρεσβευσάμενοι καὶ διὰ τοῦτο ἔτρεψε τὸν λόγον εἰς δεύτερον πρόσωπον. Τὸ δήω ἔχει μελλοντικὴν σημασίαν· διότι δὲν θὰ εὕρητε πλέον τὸ τέλος τοῦ ὑψηλοῦ Ἰλίου, Η 31 «εἰς ὅ κε κέκμωρ Ἰλίου εὕρωσιν». Ἐκ τοῦ δήω παράγεται καὶ ἡ Δηὼ (ἡ Δημήτηρ) κατὰ τὸν Εὐστάθιον· «Ἐπεί φασιν, ἁρπαγεῖσαν τὴν θυγατέρα κόρην ζητοῦσα ἤκουε πρὸς τῶν ἐντυγχανόντων ἐπὶ παραμυθίᾳ τό, δήεις, ὅ ἐστιν εὑρήσεις».

[4] Παρατακτικὴ σύνταξις· ἡ προηγουμένη πρότασις αἰτιολογεῖ τήνδε.

[5] Ἀπαγγείλατε, κομίσατε τὴν ἀγγελίαν. Ὁ Εὐστάθιος ἑρμηνεύει· «ἀποφατικῶς εἴπατε ὡς οὐ πείθεται Ἀχιλλεύς». Γέρας ἐνταῦθα σημαίνει τιμήν, τιμητικὸν ἀξίωμα. Ὅρα Δ 323 καὶ η 150.

[6] Εὐκτικῆς ἐγκλίσεως.

[7] Δηλαδὴ μῆτις. Τὸ δὲ ἑτοίμη σημαίνει ἀνυστή, δυναμένη ἐκτελεσθῆναι. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Λέγει δὲ τοῦτο, ὅτι ματαία ἐστὶν αὕτη ἡ γνώμη, ἣν ἐποίησαν οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με ὡς δυναμένους με πεῖσαι».

ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος [1].
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἔπηται
αὔριον [2], ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξω.»

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ 430
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν [3].
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ' [4] ἀναπρήσας· περὶ [5] γὰρ δίε νηυσὶν Ἀχαιῶν·

«Εἰ [6] μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσιν [7] 435

[1] Αἰτιολογεῖ τὴν τελευταίαν πρότασιν τοῦ ἡγουμένου στίχου. Τῷ La Roche φαίνεται κάλλιον νὰ γραφῇ, ἄπο μηνίσαντος.

[2] Λέγει ταῦτα εἰς πίστιν, ὅτι θέλει ἀποπλεύσει. Ἀνάγκῃ = ἀναγκάζων, παρὰ τὴν θέλησίν του.

[3] Τὸ ἀντικείμενον μῦθον ἐννοεῖται ἐκ τῆς ἡγουμένης προτάσεως.

[4] Κατὰ τὴν μαρτυρίαν τοῦ La Roche τὰ ἄριστα χειρόγραφα ἔχουσι δάκρυ', μετὰ ἀποστρόφου, ἀλλ' ὁ Bekker γράφει δάκρυ, ὅπερ εἶναι περιληπτικόν. Ὁ Döderlein τὸ ἀναπρήσας θεωρεῖ ὡς συγκεκομμένον τοῦ περᾶν καὶ κατὰ τοῦτο ἤθελε σημαίνει ἐξωθήσας, ὅπερ δὲν φαίνεται πιθανόν. Συνήθως τὸ ἀναπρήθω ἑρμηνεύεται ἀναβλύζω ἢ χέω δάκρυα· κυρίως σημαίνει ἀνάπτω ἕνεκα τῆς θερμότητος τῶν δακρύων καὶ τοῦ πάθους τῆς ψυχῆς.

[5] Δὲν εἶναι πρόθεσις συνταξσομένη μετὰ τῆς ἑπομένης δοτικῆς νηυσίν, ἀλλ' ἐπίρρημα· διότι πολὺ ἐφοβεῖτο διὰ τὰς ναῦς τῶν Ἀχαιῶν.

[6] Ἄριστα περιγράφει τὴν ῥητορείαν τοῦ Φοίνικος ὁ Εὐστάθιος· «Ὅτι στρυφνοτέρα μὲν ἡ ῥηθεῖσα τοῦ Ὀδυσσέως δημηγορία καὶ σεμνοτέρα καί, τὸ ὅλον εἰπεῖν, πρέπουσα πρέσβει βασιλικῷ. Ἡ δὲ ἐφεξῆς τοῦ Φοίνικος πειστικωτέρα ὡς οἰκείου καί πως ἐλέου ἔοικεν εἰσβολὴ ἐπὶ προϋπαρξάσῃ ἑτέρᾳ πρεσβείᾳ. Δακρύοις οὖν ὁ γέρων κιρνᾷ τὸ προοίμιον, παρρησιάζεταί τε ἐπὶ πλέον καὶ ἐντρέπει ὀνειδίζων, καὶ ἀφελῶς δὲ λαλεῖ, τῆς βρεφικῆς τοῦ Ἀχιλλέως μεμνημένος ἡλικίας, ἔτι δὲ καὶ ἱστορικήν τινα ὁμοιότητα παραφέρει, καὶ ὅλως πολυειδῶς ποικίλεται πρὸς πλείω πιθανότητα».

[7] Ἀποφεύγει νὰ ὀνομάσῃ τὸν Ἀγαμέμνονα, ὅπως μὴ διεγείρῃ τὴν ὀργὴν τοῦ Πηλείδου.

πῦρ ἐθέλεις ἀΐδηλον [1], ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
πῶς ἂν ἔπειτ' [2] ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην [3]
οἷος; σοὶ [4] δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεύς
ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν
νήπιον [5], οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο 440
οὐδ' ἀγορέων, ἵνα [6] τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν.
τοὔνεκά [7] με προέηκε διδασκέμεναι τάδε πάντα [8],
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων [9].
ὡς [10] ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
λείπεσθ', οὐδ' εἴ κέν μοι ὑποσταίη [11] θεὸς αὐτός, 445

[1] Καταστρεπτικόν, ὀλέθριον πῦρ. Ὅρα Β 455.

[2] Συγκεφαλαιοῖ τὴν ἡγουμένην ὑπόθεσιν. Τὸ δὲ ἀ π ὸ σ ε ῖ ο σημαίνει μακρὰν σοῦ.

[3] Κεῖται ἀντὶ τοῦ καταλιποίμην.

[4] Ὁ μὲν Jacobs θέλει νὰ διορθωθῇ εἰς σ ὺ ν δ έ μ' ἔ π ε μ π ε, ὁ δὲ Duentzer εἰς σ ο ὶ δ' ἅ μ' ἔ π ε μ π ε. Τὸ σ ο ὶ ἔ π ε μ π ε ἰσοδυναμεῖ πρὸς τὸ σ ο ὶ π ο μ π ὸ ν ἔ δ ω κ ε, ἀνθ' οὗ ὁ Ὅμηρος συνήθως μεταχειρίζεται τὸ ὀπάζειν.

[5] Ἄπειρον, ὡς γίνεται δῆλον ἐκ τῆς ἑπομένης ἑρμηνείας αὐτοῦ τοῦ ποιητοῦ. Τὸ ἐπίθετον ὁ μ ο ί ι ο ς τίθεται ἐπὶ ἀντικειμένων οὐχὶ εὐαρέστων, ὡς νεῖκος, γῆρας, θάνατος.

[6] Ἀποδίδεται εἰς τὸν πόλεμον καὶ εἰς τὰς ἀγοράς· ὅπου οἱ ἄνδρες γίνονται μεγαλοπρεπεῖς, ἔνδοξοι. Καὶ ἡ μάχη ὡς καὶ ἡ ἀγορὰ λέγεται κ υ δ ι ά ν ε ι ρ α, Λ 490.

[7] Ἀναφέρεται εἰς τὸ ν ή π ι ο ν καὶ τὴν ἐπεξήγησιν τούτου. Ἄξιον σημειώσεως, ὅτι ἐν τῷ ὁμηρικῷ αἰῶνι ἡ ῥητορικὴ ἐδιδάσκετό πως. Βεβαίως οὐχὶ κατὰ τοὺς κανόνας τοῦ Γοργίου ἢ τοῦ Ἰσοκράτους, ἀλλὰ κατὰ πρακτικόν τινα τρόπον.

[8] Ἐπεξηγεῖται διὰ τῶν ἑπομένων ἀπαρεμφάτων.

[9] Ἔργα ἐνταῦθα πάντως εἶναι τὰ πολεμικά, ὡς γίνεται δῆλον ἐκ τῶν ἡγουμένων. Τὸν στίχον τοῦτον μετέφρασεν ὁ Κικέρων ἐν τῷ De oratore III, 15 «ut te efficerem oratorem verborum actoremque rerum», Θεμίστ. 97, 24 «οἴκοθεν τὸν Φοίνικα ἔχεις, οἴκοθεν τὸν ἐξηγητὴν τῶν τε ῥητέων καὶ τῶν πρακτέων».

[10] Δι' ὃ· ἀντὶ τοῦ ὡς ἠδύνατο ὁ ποιητὴς νὰ μεταχειρισθῇ τ ῷ. Τὸ ἔπειτα ἀναφέρεται εἰς τὸν προηγούμενον σκοπόν, πρὸς ὃν ἐπέμφθη ὑπὸ τοῦ Πηλέως.

[11] Ὑπόσχηται, ἐγγυήσηται.

γῆρας ἀποξύσας [1], θήσειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα [2] καλλιγύναικα,
φεύγων νείκεα [3] πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος [4] περιχώσατο καλλικόμοιο,
τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν, 450
μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων [5]
παλλακίδι προμιγῆναι [6], ἵν' ἐχθήρειε γέροντα.
τῇ [7] πιθόμην καὶ ἔρεξα· πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθείς [8]

[1] Ὅρα, ὅτι τὸ γῆρας ἐθεώρησεν ὡς τινα ἐξωτερικὸν ῥύπον δυνάμενον νὰ ἀποξυσθῇ. Τὸ νέον κατὰ τὸν Ameis κεῖται ἐπιρρηματικῶς, κατ' ἄλλους ὅμως εἶναι ἐπίθετον ἀντὶ οὐσιαστικοῦ, ὅπερ πιθανώτερον.

[2] Ὁ Ἀμύντωρ κατῴκει ἐν Ἐλεῶνι τῆς Βοιωτίας. Τὸ χωρίον τοῦτο καὶ τὸ ἐν στίχ. 478 μαρτυροῦσιν, ὅτι τὸ ὄνομα Ἑλλὰς ἔχει εὐρυτέραν σημασίαν, δηλ. δὲν σημαίνει μόνον ἓν μέρος τοῦ βασιλείου τοῦ Πηλέως· διότι ὁ Φοῖνιξ καταλείπει τὴν Ἑλλάδα, ὅπως ἔλθῃ εἰς τὴν χώραν αὐτοῦ. Ὅρα Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 330.

[3] Τὰς ἔριδας, τὰς λογομαχίας μετὰ τοῦ πατρός.

[4] Δηλοῖ τὸ αἴτιον τοῦ περιχώσατο. Κατὰ τοὺς ἀρχαίους ἡ μὲν γυνὴ τοῦ Ἀμύντορος, ἐξ ἧς ἐγεννήθη ὁ Φοῖνιξ, ὠνομάζετο Ἱπποδάμεια, ἡ δὲ παλλακὶς Κλυτία.

[5] Ἡ φράσις ἤθελεν εἶναι πληρεστέρα, ἂν ὑπῆρχεν ἡ μετοχὴ λαβών, ὡς ἐν Ζ 45, ζ 142 καὶ κ 264, ἢ ἑλών Φ 71, ἢ ἁψάμενος Ω 357.

[6] Κατὰ τὸν Duentzer κεῖται ἄνευ τῆς σημασίας τοῦ πρότερον, ὡς ἐν ε 385. Ὁ Σχολιαστὴς ὅμως ἑρμηνεύει· «πρὸ τοῦ πατρὸς μιγῆναι». Τοῦτο ἐξηγεῖται ἐκ τοῦ Εὐσταθίου λέγοντος· «μιγεὶς δηλαδὴ τῇ Κλυτίᾳ, ἣν ὁ πατὴρ Ἀμύντωρ οὔπω μὲν ἔγνω, καθά οἱ παλαιοί φασιν, εἰς τοῦτο δὲ ἀνέτρεφε, διὸ οὐδὲ μιγῆναι φησὶν ὁ Φοῖνιξ». Τὸ ὑποκείμενον τοῦ ἐχθήρειε εἶναι ἡ παλλακίς.

[7] Πρῶτον ὁ Σωσιφάνης, εἶτα δὲ Ἀριστόδημος ὁ Νυσσαεύς, ῥήτωρ καὶ γραμματικός, διώρθου τὸ χωρίον εἰς, τῇ οὐ πιθόμην οὐδὲ ἔρεξα καὶ εὐδοκιμήσας ἐτιμήθη ὡς εὐσεβῆ ἀναδείξας τὸν ἥρωα. Ἡ διόρθωσις ὅμως δὲν εἶναι πιθανή. Καθ' ὅλου εἰπεῖν, οἱ ἀρχαῖοι διορθωταὶ ἐπειρῶντο διὰ διορθώσεως νὰ ἀναδείξωσι τοὺς ὁμηρικοὺς θεοὺς καὶ ἥρωας ἠθικωτέρους ἑαυτῶν.

[8] Κατὰ τὸν Σχολιαστήν· «Ὑπονοήσας».

πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Ἐρινῦς [1],
μήποτε γούνασιν οἷσιν [2] ἐφέσσεσθαι φίλον υἱόν, 455
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαράς [3],
Ζεύς τε καταχθόνιος [4] καὶ ἐπαινὴ Περσεφόνεια.
τὸν [5] μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέϊ χαλκῷ·
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν [6] καὶ ὀνείδεα πόλλ' ἀνθρώπων, 460

[1] Καχθόνιοι δαίμονες, τιμωροὶ καὶ ἄλλων μέν, μάλιστα δὲ τῶν πρὸς τοὺς γονεῖς ἁμαρτημάτων. Τὰ ὀνόματα τούτων Ἀλεκτώ, Τισιφόνη καὶ Μέγαιρα ἁπαντῶσι παρὰ τοῖς μεθ' Ὅμηρον.

[2] Τινὲς τῶν ἀρχαίων ἔγραφον ἐμοῖσιν. Ἀλλ' ὁ Σχολιαστὴς παρατηρεῖ· «Λέγει δὲ οὐ περὶ ἑαυτοῦ ὁ Φοῖνιξ, ἀλλὰ περὶ τοῦ Ἀμύντορος».

[3] Ἐπαρὴ εἶναι ἡ κατάρα, ἡ δὲ πρόθεσις προσετέθη, ὡς καὶ ἐν τῷ ἐπάρατος.

[4] Ζεὺς καταχθόνιος λέγεται ὁ Ἅδης, ὅστις μετὰ τῆς Περσεφόνης ἐν τῷ βασιλείῳ τῶν νεκρῶν εἶναι, ὅτι ὁ Ζεὺς μετὰ τῆς Ἥρας ἐν τῷ Ὀλύμπῳ. Ἡ πρόθεσις ἐν τῷ ἐπιθέτῳ ἐπαινὴ παρέχει πράγματα τοῖς ἑρμηνευταῖς· ὁ Εὐστάθιος λέγει, ὅτι ἡ πρόθεσις πλεονάζει, ὁ δὲ Buttmann διαιρεῖ τὸ ἐπίθετον εἰς δύω, ἐπ' (δηλ. ἐπ' αὐτῷ) αἰνή. Ὡσαύτως διαφωνία ὑπάρχει καὶ περὶ τὴν ἑρμηνείαν τοῦ ἐπιθέτου. Ὁ La Roche ἑρμηνεύει, ᾧ αἶνος ἔπεστι, δηλ. ἐπαινετή. Φέρει δὲ καὶ ἄλλα παραδείγματα, ἐν οἷς ἡ Περσεφόνη ἐπαινεῖται, ἐν λ 213, 226 καὶ 635 λέγεται ἀγανὴ καὶ ἀγνὴ ἐν λ 386. Προτιμοτέρα ὅμως εἶναι ἡ ἑρμηνεία, ἐπίφοβος, δεινή, φοβερά· διότι ἡ Περσεφόνεια κυρίως εἶναι Φερσεφόνεια, δηλ. φόνον φέρουσα.

[5] Οἱ στίχοι 458 — 461 δὲν φέρονται ἐν τοῖς χειρογράφοις. Τούτους διετήρησεν ὁ Πλούταρχος ἐν τοῖς συγγράμμασιν αὐτοῦ μετὰ τῆς παρατηρήσεως «Ἀρίσταρχος ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείς». Ὁ δὲ Barnes καὶ ὁ Bergler εἰσήγαγον πάλιν εἰς τὸ κείμενον. Εἶναι πρόδηλον, ὅτι ἠθικὴ αἰτία ἔπεισε τοὺς ἀρχαίους νὰ ἐξαλείψωσι τοὺς στίχους, οἵτινες φαίνονται μὴ ἁρμόζοντες τῷ χαρακτῆρι τοῦ Φοίνικος.

[6] Φάτις ἐνταῦθα εἶναι ἡ δυσφημία, ὡς ἐπεξηγεῖται διὰ τῶν ἑπομένων. Ὁ Φοῖνιξ διενοήθη νὰ φονεύσῃ τὸν πατέρα του, ἀλλ' θεός τις ἔπαυσε τὴν ὀργήν, διότι ἔθηκεν εἰς τὸν νοῦν του τὴν δυσφημίαν τῶν ἀνθρώπων. Ἡ δυσφημία καὶ ἡ ὑστεροφημία κω-

ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην.
ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ'[1] ἐν φρεσὶ θυμός
πατρὸς χωομένοιο[2] κατὰ μέγαρα στρωφᾶσθαι.
ἦ μὲν πολλὰ ἔταιρ[3] καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες,
αὐτοῦ[4] λισσόμενοι κατερήτυον ἐν μεγάροισιν,
πολλὰ[5] δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες[6] ἀλοιφῇ
εὑόμενοι[7] τανύοντο διὰ φλογὸς Ἡφαίστοιο[8],
πολλὸν δ' ἐκ κεράμων[9] μέθυ πίνετο τοῖο γέροντος.

λύουσι τοὺς ὁμηρικοὺς ἀνθρώπους ἀπὸ πολλῶν αἰσχρῶν πράξεων.

[1] Ἡμεῖς ἠθέλομεν εἰπεῖ, δὲν τὸν ἐβάστα ἡ καρδιά του.

[2] Γραμματικῶς ἀνήκει εἰς τὸ μέγαρα, ἀλλ' ὀλίγον ἀπέχει τῆς γενικῆς ἀπολύτου εἰς τὸ στρωφᾶσθαι, ὅπερ εἶναι θαμιστικὸν τοῦ στρέφεσθαι. Δὲν μ' ἐβάστα ἡ καρδιά μου νὰ συχνογυρίζω εἰς τὰ μέγαρα, ἐν ᾧ ὁ πατήρ μου ἦτο ὠργισμένος.

[3] Περὶ τοῦ ἑτύμου τῆς λέξεως ὅρα Ζ 239. Ἕταιρ μὲν λέγονται οἱ συνήθεις, οἱ φίλοι, ἀνεψιοὶ δὲ οἱ ἐξάδελφοι, οἱ συγγενεῖς. Διονύσιος ὁ Θρᾷξ ἀντὶ τοῦ ἀμφὶς ἐόντες ἔγραφεν ἀντιόωντες.

[4] Ἐν τῷ αὐτῷ τόπῳ, ἐπεξηγεῖται δὲ διὰ τοῦ ἐν μεγάροισιν.

[5] Τὰ συμπόσια ἐποίουν, ὅπως ἐπιχύσωσιν εὐθυμίαν εἰς τὴν ψυχὴν τοῦ δυσθυμοῦντος. Τὸ εἰλίπους ἑρμηνεύεται ἐν Ζ 424. Ὁ δὲ χωμικὸς Εὔπολις παίζων καὶ γυναῖκας ἔλεγεν εἰλίποδας. Περὶ δὲ τῆς σημασίας τοῦ ἕλιξ ὑπάρχει διαφωνία· κατά τινας μὲν σημαίνει τοὺς ἑλικοκεράτους, τοὺς ἐπικαμπῆ τὰ κέρατα ἔχοντας, κατ' ἄλλους ὅμως λέγονται οἱ βόες ἐκ τοῦ ἑλιγμοῦ τῶν ποδῶν. Θεωρεῖται πιθανώτερον τὸ δεύτερον· διότι ἂν ἐνοεῖτο τὸ πρῶτον, ἔπρεπε νὰ προστεθῇ τὸ κέρας, οἷον ἑλιξόκερως. Βεβαίως ἐν τῇ ἑρμηνείᾳ ταύτῃ ὑπάρχει ἡ δυσκολία, ὅτι διὰ δύω λέξεων δηλοῦται ἡ αὐτὴ ἰδιότης, ἀλλὰ παρ' Ὁμήρῳ δὲν εἶναι ἀσύνηθες.

[6] Πιμελεῖς, θάλλοντες ἐκ τοῦ πάχους.

[7] Εὔω σημαίνει περιφλέγω, καψαλίζω.

[8] Προσωποποίησις τοῦ πυρός, ὡς ἐν Β 426. Ὁ Εὐστάθιος ἑρμηνεύει· «τανύοντο διὰ φλογὸς Ἡφαίστοιο, περιφραστικῶς κεῖται ἀντὶ τοῦ ὠπτῶντο».

[9] Κέραμος λέγεται πήλινον ἀγγεῖον, ἐν ᾧ ἐφυλάσσετο ὁ οἶνος.

εἰνάνυχες [1] δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ' ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ [2] εὐερκέος αὐλῆς,
ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο [3] θυράων.
ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
ῥήξας ἐξῆλθον [4], καὶ ὑπέρθορον ἕρκίον αὐλῆς
ῥεῖα [5], λαθὼν φύλακάς τ' ἄνδρας δμωάς [6] τε γυναῖκας.

[1] Κατά τινας εἶναι ἐπίθετον, πιθανώτερον δὲ ἐπίρρημα κατ' ἀναλογίαν τοῦ εἰνάετες, ἐπὶ ἐννέα νύκτας. Πάντως εἶναι πλεονασμὸς ἡ προσθήκη τοῦ νύκτας, ἀλλ' εὑρηται καὶ ἀλλαχοῦ, κ 28, 80 καὶ ο 476· «ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ». Ἡ δοτικὴ μοι αὐτῷ συναπτέα μετὰ τῆς ἀμφί, ὡς ἡ παρὰ μετὰ τοῦ ἴαυον. Τοῦτο δὲ τὸ ῥῆμα δὲν σημαίνει κοιμῶμαι, ὡς συνήθως, ἀλλὰ διατρίβω, διανυκτερεύω, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «Ἰαύειν δὲ καὶ νῦν τὸ διατρίβειν, οὐ μὴν κοιμᾶσθαι· οὐ γὰρ πρέπει τοῦτο φύλαξι».

[2] Ὁ Σχολιαστὴς λέγει περὶ τῆς αἰθούσης· «αἴθουσα δὲ περίστυλον, τουτέστι πρὸς ἥλιον τεταμμένη στοά». Ὁ δὲ Εὐστάθιος τὰ μέρη τῆς οἰκίας τάσσει οὑτωσί· «ἕρκος, περὶ ὃ πύλαι· μετὰ δὲ τὸ ἕρκίον αὐλή· μεθ' ἣν αἴθουσα· εἶτα πρόδομος, δόμος, καὶ θάλαμος».

[3] Ἐν τῷ θαλάμῳ ἐκοιμᾶτο ὁ Φοῖνιξ.

[4] Δηλαδὴ ἐκ τοῦ θαλάμου εἰς τὴν αὐλήν. Τὸ ἕρκίον ἔχει μὲν κατάληξιν ὑποκοριστικοῦ, ἀλλὰ κατὰ σημασίαν δὲν διαφέρει τοῦ ἕρκος. Ὁ Geppert (Ueber den ursp. d. Hom. Ges. II, 98) παρατηρεῖ, ὅτι ἡ κατάληξις ιον παρ' Ὁμήρῳ δὲν ἐπιδρᾷ ἐπὶ τῆς σημασίας τῶν λέξεων, ἐξ ὧν τὰ εἰς ιον ὀνόματα παράγονται, ὡς θηρίον παρὰ τὸ θήρ, σκηπάνιον παρὰ τὸ σκῆπτρον, γένειον παρὰ τὸ γένος, οἰκίον παρὰ τὸ οἶκος, κρανίον παρὰ τὸ κάρη κτλ. Νομίζει δέ, ὅτι τὰ τοιαῦτα ἐπολλαπλασιάσθησαν ὑπὸ τῶν μιμητῶν τοῦ Ὁμήρου, ὡς ἑρκίον ἀντὶ ἕρκος, τειχίον ἀντὶ τεῖχος, κλισίον ἀντὶ κλισίη. Ἀλλὰ δὲν εἶναι οὕτως εὔκολον νὰ ἐξευρεθῶσιν οἱ μιμηταὶ τοῦ Ὁμήρου.

[5] Κατὰ τὸν Ameis προσδιορίζει τὸ λαθών, ὅπερ δὲν εἶναι πιθανόν· διότι προσδιορίζει τὸ ὑπέρθορον· ἡ δυσκολία ἔκειτο ἐν τῇ ὑπερπηδήσει τοῦ ἑρκίου.

[6] Αἱ δμωαὶ δὲν εἶχον ταχθῆ πρὸς φυλακήν, ἀλλ' εἰργάζοντο τὴν

φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο [1],
Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐς Πηλῆα ἄναχθ'· ὁ δέ με πρόφρων ὑπέδεκτο,
καί με φίλησ' ὡσεί τε πατὴρ [2] ὃν παῖδα φιλήσῃ
μοῦνον τηλύγετον [3] πολλοῖσιν ἐπὶ κτεάτεσσιν,
καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε [4] λαόν·
ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.
καί σε τοσοῦτον [5] ἔθηκα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ [6] οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ
οὔτ' ἐς δαῖτ' ἰέναι [7] οὔτ' ἐν μεγάροισι πάσασθαι,
πρίν [8] γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας

νύκτα ἐν τῇ αὐλῇ. Ὅρα υ 110.

[1] Διαφωνία μεγάλη ἐπικρατεῖ παρὰ τοῖς φιλολόγοις περὶ τοῦ δευτέρου συνθετικοῦ μέρους τῆς λέξεως· διότι κατ' ἄλλους μὲν εἶναι ὁ χορός, ὡς καλλίχορος, κατ' ἄλλους δὲ ὁ χῶρος καὶ τὸ ω συνεστάλη εἰς ο χάριν τοῦ μέτρου. Πότερον εἶναι ὀρθότερον, δὲν εἶναι εὔκολον νὰ ἀποφανθῇ τις.

[2] Ἐκ τοῦ χωρίου τούτου δῆλον γίνεται, ὅτι ὁ Πηλεὺς ἦτο πρεσβύτερος τοῦ Φοίνικος.

[3] Περὶ τοῦ ἐτύμου τῆς λέξεως ὅρα ἐν Γ 175. Ὁ ποιητὴς ἐνταῦθα συνήθροισε πάσας τὰς περιστάσεις, καθ' ἃς ὁ πατὴρ δύναται μάλιστα νὰ ἀγαπᾷ τὸ ἴδιον τέκνον.

[4] Τὸ χωρίον εἶναι σπουδαιότατον πρὸς ὁρισμὸν τοῦ πολιτεύματος τῶν ἡρωικῶν χρόνων, διότι μαρτυρεῖ, ὅτι οὐ μόνον ὁ Ἀγαμέμνων ἔχει ὑφ' ἑαυτῷ ἄνακτας, ἀλλὰ καὶ οὗτοι ἄλλους ὑποδεεστέρους. Ὡς δὲ οἱ ἄνακτες τῶν Ἀχαιῶν ἀποτελοῦσι τὴν βουλὴν τῶν γερόντων παρὰ τῷ Ἀγαμέμνονι, οὕτω δυνάμεθα νὰ εἰκάσωμεν καὶ περὶ τῶν ὑποδεεστέρων. Τὸ αὐτὸ ἰσχύει καὶ περὶ τῆς πολιτείας τῶν θεῶν.

[5] Σὲ ἀνέθρεψα τόσον μέγαν, μέχρι τῆς ἀνδρικῆς ἡλικίας.

[6] Ἡ πρότασις αὕτη δηλοῖ τὴν αἰτίαν, δι' ἣν ὁ Φοῖνιξ ἐκ καρδίας ἠγάπα τὸν Ἀχιλλέα.

[7] Ὀρθῶς ἑρμηνεύει ὁ Εὐστάθιος· «Δαῖτα δὲ νῦν φησὶ τὴν ἐς φίλου, ἢ ὅλως τὴν κατὰ τὰ ἔξω οἴκου γινόμενα δειπνοκλητόρια, πρὸς ἅπερ ἀντιδιαστέλλεται τὸ ἐν μεγάροισι πάσασθαι, ὅ ἐστι φαγεῖν».

[8] Ἐπειδὴ προηγεῖται ἡ φράσις οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ, ἐνταῦθα περιεμένομεν τήν, ἢ ἐμοί· ἐπειδὴ ὅμως ἡ τοιαύτη

ὄψου [1] τ' ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών·
πολλάκι μοι κατέδευσας [2] ἐπὶ στήθεσσι χιτῶνα
οἴνου ἀποβλύζων [3] ἐν νηπιέῃ ἀλεγεινῇ.
ὣς ἐπὶ σοὶ [4] μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα,
τὰ φρονέων, ὅ [5] μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ σὲ [6] παῖδα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ποιεύμην [7], ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοί δέ [8] τε καὶ θεοὶ αὐτοί,

φράσις διὰ τὸ πάσασθαι δὲν ἤθελεν εἶναι ἱκανή, προσέθηκεν ὁ ποιητὴς χρονικὴν πρότασιν τῆς πρώτης συντάξεως ἐπιλαθόμενος. Τὸ ἐμοῖσιν ἐγὼ ἐξαίρει τὴν ἀντίθεσιν πρὸς τὸ ἄλλῳ. Ὁ Ὅμηρος λέγει γούνεσσι καὶ γούνασι, ὡς ἄνδρεσσι καὶ ἀνδράσι. Τὴν κυρίαν ἰδέαν τῆς προτάσεως δηλοῖ τὸ καθίσσας καὶ οὐχὶ τὸ ἄσαιμι.

[1] Ἐκ τοῦ ἔψω· ὁ Εὐστάθιος λέγει ἐν VII, 277 «Οὐκ ἀγνοῶ δέ, ὅτι ὄψον κυρίως καλεῖται πᾶν τὸ πυρὶ κατασκευαζόμενον εἰς ἐδωδήν· ἤτοι γὰρ ἐψόν ἐστιν ἢ παρὰ τὸ ὠπτῆσθαι». Σημαίνει δὲ τὸ παρ' ἡμῖν καλούμενον προσφάγι, ὅπερ συνηθέστατα ἦτο κρέας, ὡς ἐνταῦθα. Τὸ δὲ ἄσαιμι εἶναι ἀόριστος α' τοῦ ἄω = κορέννυμι. Κατὰ τὸ προηγούμενον ὄψουτε περιεμένομεν οἴνου, ἀλλ' ἔθηκεν αἰτιατικήν, ὡς ἀπήτει τὸ ἐπισχών.

[2] Ὑγρανας, ἐμούσκευσας τὸν χιτῶνα.

[3] Ἡ μὲν γενικὴ οἴνου εἶναι μεριστική, τὸ δὲ ἀποβλύζων δὲν σημαίνει ἐξεμῶν, ἀλλ' ἐκχέων, ἢ ὡς λέγει ὁ Εὐστάθιος· «δηλοῖ τὸ ἀποστάζειν διὰ τὴν βρεφικὴν βραχυστομίαν». Κατά τινας νηπιέη σημαίνει τὴν νηπιακὴν ἡλικίαν, κατ' ἄλλους δὲ τὴν νηπιακὴν ἄνοιαν, ὅπερ πιθανώτερον. Ὀνομάζει δὲ ταύτην ἀλεγεινὴν ὡς πρὸς τὸν παιδαγωγόν, ᾧ τὸ νήπιον παρέχει πόνους καὶ λύπας.

[4] Διὰ σέ, ἀλλὰ λέγει ὡς περὶ ἄθλου, ὡς Α 162 καὶ λ 548.

[5] Δηλαδὴ τὰ φρονέων, ὅτι, ὡς ἐν Ψ 545.

[6] Ἡ ἀντωνυμία ὀρθοτονεῖται πρὸς ἔμφασιν.

[7] Ἐπειδὴ ὁ Φοῖνιξ δὲν ἐκτήσατο τέκνα, ἐθεώρει τὸν Ἀχιλλέα ὡς υἱὸν καὶ διὰ τοῦτο ἐπόνει ὑπὲρ αὐτοῦ.

[8] Ἀντὶ τοῦ δὲ ἠδύνατο νὰ θέσῃ αἰτιολογικὸν σύνδεσμον. Τὸ ἐπιχείρημα εἴληπται ἐκ τοῦ μείζονος, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «Μονονουχὶ γάρ φησιν ὁ ῥήτωρ,

τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
καὶ [1] μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσιν
λοιβῇ [2] τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ [3].
καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
χωλαί [4] τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,
αἵ ῥά [5] τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι.

ὡς ἐάν στρεπτοὶ οἱ μείζονες, πολλῷ πλέον σὺ ὁ ἐλάττων». Τινὲς τῶν ἀρχαίων παραβάλλοντες τὸ χωρίον τοῦτο πρὸς τὸ ἐν γ 147 εὕρισκον ἀντίφασιν· «οὐ γὰρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων»· ἀλλ' ἐνταῦθα ὁ τόνος τῆς φράσεως πίπτει ἐπὶ τοῦ αἶψα, ὅπερ εἶναι ὀλίγον τι διάφορον.

[1] Ἐπεξηγεῖ, πῶς οἱ θεοὶ εἶναι εὐμετάβλητοι, εὔπειστοι. Θυέεσσι = θυμιάμασιν, ὡς γίνεται λόγος ἐν Ζ 270. Διὰ θυμιαμάτων καὶ ὑποσχέσεων θεαρέστων.

[2] Διὰ σπονδῆς καὶ θυσίας. Τὸ παρατρωπάω εἶναι θαμιστικὸν τοῦ παρατρέπω. Ἐξιλεοῦσιν οἱ ἄνθρωποι.

[3] Κατὰ τὸν Εὐστάθιον· «ἐκ παραλλήλου δηλοῦται τὸ αὐτό· ἐπεὶ καὶ ὑπερβασία καὶ ἁμαρτία τῆς αὐτῆς ἐννοίας εἰσίν».

[4] Αἱ Λιταὶ εἶναι χωλαὶ ἐν ἀντιθέσει πρὸς τὴν Ἄτην, ἥτις λέγεται ἀρτίπος. Τοῦτο δηλοῖ· ὅσον ὁ ἄνθρωπος εἶναι ταχὺς πρὸς τὴν ἁμαρτίαν, τοσοῦτον βραδὺς πρὸς μεταμελητικὴν παράκλησιν. Οἱ λισσόμενοι βαίνουσι σχολαίῳ ποδὶ καὶ οἱονεὶ συμπεποδισμένοι. Τὸ δὲ ῥυσὸς παραγόμενον ἐκ τοῦ ἐρύω σημαίνει τὸν ῥικνόν, τὸν ἐρρυτιδωμένον. Τὸ ἐπίθετον τοῦτο ἐλήφθη ἐκ τοῦ προσώπου τοῦ λισσομένων, ὡς λέγει ὁ Εὐστάθιος· «καὶ ῥυσὰς δὲ διὰ τὸ σχῆμα τοῦ προσώπου τῶν ἱκετευόντων, οἷς σκυθρωπάζον καὶ συναγόμενον ῥικνοῦται τὸ πρόσωπον». Τὸ παραβλῶψ παράγεται ἐκ τοῦ παραβλέπω· ἐπιτυχῶς δὲ τὸ ἐπίθετον εἰκονίζει τὴν θέσιν τῶν ἁμαρτόντων, ὅταν ἱκετεύωσιν, ὡς ὀρθῶς παρατηρεῖ ὁ αὐτὸς Εὐστάθιος· «τουτέστι διεστραμμένας τὴν ὄψιν, παραβαλλούσας τοὺς ὤπας καὶ παραγούσας τῆς κατὰ φύσιν ὄψεως καί, ὡς οἱ παλαιοί φασιν, στραβὰς καὶ πλαγιομμάτους· ... καὶ διότι οὐχ ἱλαρὸν τὸ βλέμμα τοῖς λιταζομένοις ἀλλ', ὡς εἰπεῖν, δυσβλεπτοῦσιν ἐκεῖνοι, ὅθεν καὶ ἡ δυσωπία τὴν κλῆσιν ἔλαχεν».

[5] Ὡς ἦτο ἑπόμενον ἕνεκα τῆς χωλότητος τῶν Λιτῶν. Ἡ γενικὴ Ἄτης ἐξαρτᾶται ἐκ τοῦ μετόπισθε, δηλ. δὲν εἶναι συνταχτική

ἡ δ' Ἄτη σθεναρή[1] τε καὶ ἀρτίπος, οὕνεκα πάσας[2]
πολλὸν ὑπεκπροθέει, φθάνει[3] δέ τε πᾶσαν ἐπ' αἶαν
βλάπτουσ' ἀνθρώπους· αἱ δ' ἐξακέονται[4] ὀπίσσω.
ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἄσσον ἰούσας,
τὸν δὲ μέγ' ὤνησαν[5] καὶ τ' ἔκλυον εὐχομένοιο·
ὃς δέ κ' ἀνήνηται[6] καί τε στερεῶς ἀποείπῃ,
λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα χιοῦσαι
τῷ Ἄτην ἅμ' ἕπεσθαι[7], ἵνα βλαφθεὶς ἀποτίσῃ[8].
ἀλλ', Ἀχιλεῦ, πόρε[9] καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι

τοῦ ἀλέγουσι, ὅπερ κεῖται ἀπολύτως, ὡς ἐν Λ 389, π 307 καὶ ἀλλαχοῦ.

[1] Σθεναρὸς=ἰσχυρός, δυνατός. Ἀρτίπος, δηλ. ἀρτίπους, ὡς ἀελλόπος ἀντὶ ἀελλόπους. Σημαίνει τὸν ἔχοντα ἀρτίους τοὺς πόδας, καὶ ἀκολούθως περιπίπτει εἰς τὴν σημασίαν τοῦ ταχύς. Ἐν Τ 91 λέγεται, ὅτι ἔχει ἁπαλοὺς τοὺς πόδας καὶ βαίνει ἐπὶ τῶν κεφαλῶν τῶν ἀνθρώπων.

[2] Δηλαδὴ τὰς ἀδελφάς αὐτῆς, ἤτοι τὰς Λιτάς.

[3] Κατὰ τὸν Ameis εἶναι ἐπεξήγησις τοῦ ὑπεκπροθέει καὶ κατὰ τοῦτον πρέπει νὰ ἐννοήσωμεν τὸ πάσας ὡς ἀντικείμενον εἰς τὸ φθάνει, δηλ. προλαμβάνουσα τὰς Λιτὰς φέρει βλάβην εἰς τοὺς ἀνθρώπους. Ἐντεῦθεν ὁ ποιητὴς ἐτυμολογεῖ τὴν Ἄτην λέγων ἐν Τ 129 «ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται».

[4] Ἐντελῶς θεραπεύουσιν, ὅλως ἰατρεύουσιν· ἡ μεταφορὰ ἐκ τῶν νοσούντων.

[5] Γνωμικὸς ἀόριστος, ὡς καὶ ὁ ἑπόμενος παρατατικός, ὅστις ἔχει σημασίαν ἀορίστου. Τὰ πλεῖστα χειρόγραφα ἔχουσιν εὐξαμένοιο, ἀλλ' ὁ Ἀρίσταρχος ἔγραφεν εὐχομένοιο, ὅπερ δέχεται καὶ ὁ Duentzer.

[6] Ὅστις ὅμως περιφρονήσῃ τὰς Λιτὰς καὶ ἀμειλίκτως (σκληρῶς) ἀρνηθῇ.

[7] Ἐκ τῶν εἰρημένων γίνεται δῆλον, ὅτι ἡ Ἄτη δὲν ἐνεργεῖ ὡς αὐτογνώμων καὶ αὐτοκράτωρ, ἀλλὰ κατὰ τὸ κέλευσμα τοῦ Διός.

[8] Τιμωρηθῇ διὰ τὴν περιφρόνησιν τῶν Λιτῶν. Διὰ τῆς ἀλληγορίας παρεσκεύασεν ὁ Φοῖνιξ τὴν παράκλησιν πρὸς τὸν Ἀχιλλέα, ὅπως οὗτος καμφθῇ· διότι ἂν μείνῃ ἄκαμπτος, ἐπίκειται ἡ παρὰ τοῦ Διὸς τιμωρία.

[9] Ἔχει τὴν σύνταξιν καὶ τὴν σημασίαν τοῦ δός· δὸς καὶ σὺ νὰ ἀκολουθήσῃ τιμὴ τὰς κόρας τοῦ

τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει [1] νόον ἐσθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι [2]
'Ατρείδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς [3] χαλεπαίνοι,
οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
'Αργείοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπης·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ [4], τὰ δ' ὄπισθεν ὑπέστη,
ἄνδρας δὲ λίσσεσθαι ἐπιπρέπηκεν ἀρίστους [5]
κρινάμενος κατὰ λαὸν 'Αχαιϊκόν, οἵ τε σοὶ αὐτῷ
φίλτατοι 'Αργείων [6]. τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας [7]· πρὶν δ' οὔ τι νεμεσητὸν [8] κεχολῶσθαι.
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί [9] τε πέλοντο παράρρητοί τ' ἐπέεσσιν.

Διός, ἤτοι σεβάσθητι ταύτας.

[1] Κάμπτει, μεταπείθει.

[2] Τὸ ὀνομάζω ἐνταῦθα σημαίνει λέγω κατ' ὄνομα, ὑπισχνοῦμαι.

[3] Τὸ ἐπίθετον ἐπιζάφελος, ἐξ οὗ τὸ ἐπίρρημα, ἔχει ἀμφίβολον τὸ ἔτυμον· διότι ἄλλοι μὲν παράγουσιν ἐκ τοῦ ἐπιτατικοῦ ζα ἐπιτεινομένου ἔτι μᾶλλον διὰ τῆς ἐπὶ καὶ ὀφέλλω, ἄλλοι δὲ ἐκ τοῦ ζάω ἢ φλάω. Ὁπωσδήποτε σημαίνει, σφόδρα, ὁρμητικά, ἤ, ὡς ἑρμηνεύουσιν οἱ ἀρχαῖοι, λίαν ηὐξημένως.

[4] Εἶναι ἕτοιμος νὰ δώσῃ.

[5] Ὁ μὲν 'Οδυσσεὺς προεῖχε κατὰ τὴν σύνεσιν, ὁ δ' Αἴας κατὰ τὴν ἀνδρίαν.

[6] Τοῦτο καὶ αὐτὸς ὁ 'Αχιλλεὺς ὡμολόγησεν ἐν στίχ. 198 καὶ 204.

[7] Ἐννοεῖ τοὺς κόπους τῶν ποδῶν, ὡς καὶ ἡμεῖς λέγομεν, κρῖμ' εἰς τὰ πόδια μου, θέλοντες νὰ ὀηλώσωμεν τὸ μάταιον τοῦ δρόμου. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Μὴ ἀτιμάσῃς, μὴ ὀνειδίσῃς τὸν ὑπὲρ τῆς ἀξιώσεως καὶ πρεσβείας λόγον αὐτῶν μηδὲ τὴν ἄφιξιν αὐτῶν».

[8] Δηλαδὴ ἦν· πρότερον δὲν ἦτο ἀξιόμεμπτον νὰ ἦσαι ὠργισμένος (δηλ. πρὶν πεμφθῇ πρεσβεία καὶ δοθῶσι δῶρα). Ἐν ἄλλαις λέξεσιν ὁ Φοῖνιξ λέγει, ὅτι τώρα εἶναι ἀξιόμεμπτον.

[9] Εἶναι ἐπεξήγησις εἰς τὸ κλέα ἀνδρῶν, ὡσεὶ προηγεῖτο ἥρωες. Δωρητοὶ ἐνταῦθα σημαίνει τοὺς μεταπειθομένους ἢ ἐξιλεουμένους δώροις. Παράρρητοι ἢ παραρρητοὶ εἶναι οἱ παρηγορητοί, οἱ διὰ

μέμνημαι τόδε ἔργον [1] ἐγὼ πάλαι, οὔ τι νέον γε,
ὡς ἦν [2]· ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισιν [3].
Κουρῆτές [4] τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι [5]

λόγων καταπραϋνόμενοι, μεταπειθόμενοι.

[1] Τὸ μέμνημαι συνέταξε πρὸς αἰτιατικήν, ὡς καὶ ἐν Ζ 222. Ἔργον ἐνταῦθα εἶναι ἡ ὑπόθεσις, τὸ συμβάν. Τὸ δὲ πάλαι σημαίνει πρὸ πολλοῦ ἤδη χρόνου, ὅπερ ἐπεξηγεῖται διὰ τῆς φράσεως, οὔ τι νέον γε.

[2] Ὑποκείμενον μὲν εἶναι τὸ ἔργον, κατηγορούμενον δὲ τὸ ὡς· ὁρα Α 416. Τὸ συμβὰν ἐνθυμοῦμαι, καθ' ὡς ἦτο, δηλ. τὰ καθ' ἕκαστον.

[3] Τὸ πάντεσσι φίλοισιν κεῖται ἀντὶ ἀναφορικῆς προτάσεως. Ἡ ἑπομένη διήγησις ἠδύνατο νὰ ἐρεθίσῃ τὸν Ἀχιλλέα, ἀλλ' ὁ Φοῖνιξ προλαμβάνων λέγει, ὅτι δὲν εἶναι παρὼν ξένος.

[4] Οἱ ἀρχαῖοι παρετήρησαν, ὅτι τὰ ἑπόμενα συμφωνοῦσι κατὰ πάντα πρὸς τὴν παροῦσαν τοῦ Ἀχιλλέως θέσιν. Αἰτία τῆς μήνιδος τοῦ μὲν Ἀχιλλέως ἦτο ὁ Ἀγαμέμνων, τοῦ δὲ Μελεάγρου ἡ μήτηρ. Ἀρχὴ δὲ τῆς μήνιδος ἐκείνῳ μὲν ὁ χόλος τοῦ Ἀπόλλωνος, τούτῳ δὲ ἡ ὀργὴ τῆς Ἀρτέμιδος (Α 9 ἐν παραβολ. πρὸς Ι 533). Πρὸς ἑκάτερον πρεσβεύουσιν, οὐδέτερος ὅμως κάμπτεται. Ἀλλὰ καὶ ὁ Μελέαγρος ἠναγκάσθη νὰ πολεμήσῃ ἄνευ δώρων διὰ τὴν γυναῖκα, τοῦ πολέμου ἐπὶ θύραις ὄντος, καὶ ὁ Ἀχιλλεὺς διὰ τὸν Πάτροκλον. Διὰ τῆς διηγήσεως ταύτης παραινεῖ ὁ Φοῖνιξ τὸν Ἀχιλλέα, ἵνα μὴ πάθῃ, ὅσα ὄντως βραδύτερον ἔπαθεν, ὡς ὁ Μελέαγρος ἐκεῖνος. Τὸ διηγεῖσθαι ὅμοια τοῖς προκειμένοις πράγμασιν οἱ ἀρχαῖοι ἔλεγον ὑποδιήγησιν. Οἱ Κουρῆτες ἦτο λαὸς Αἰτωλικός, οὗ πρωτεύουσα ἦτο ἡ Πλευρών (Β 639) ὡς τῶν Αἰτωλῶν ἡ Καλυδών. Οἱ ἀρχαῖοι μνημονεύουσι περιέργου ἐτυμολογίας τοῦ ὀνόματος, ὡς ἀναγινώσκομεν παρ' Εὐσταθίῳ· «Κουρῆτες ἢ διὰ τὸ Κούριον ὄρος ὑπερκείμενον Πλευρῶνος ἢ παρὰ τὴν κουράν. Ἐπεὶ γὰρ κατὰ τὸν γεωγράφον οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν κατέσπων αὐτούς, ὄπισθεν τοῦ λοιποῦ ἐκόμων, κειρόμενοι τὰ ἔμπροσθεν, διὸ καὶ Κουρῆτες ἐλέγοντο . . . κατασχόντες δέ γε ὕστερον τὰ πέραν Ἀχελῴου ἐν Αἰτωλίᾳ περὶ Πλευρῶνα καὶ μείναντες ἄκουροι ἐκλήθησαν Ἀκαρνᾶνες».

[5] Τὸ ἐπίθετον εἶναι σύνθετον ἐκ τοῦ μένω καὶ χάρμη=μάχη, πόλεμος. Διὰ τοῦτο σημαίνει, ὅτι καὶ τὸ μενεπτόλεμος, δηλ. ὁ μένων ἐν τῇ μάχῃ, ὁ ἀνδρεῖος. Ἡ αἰτία, δι' ἣν οἱ δύω οὗτοι λαοὶ ἐμάχοντο πρὸς ἀλλήλους, ἔπεται

ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος [1] ἐραννῆς,
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ·
καὶ γὰρ τοῖσι [2] κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσεν
χωσαμένη ὅ [3] οἱ οὔτι θαλύσια γουνῷ ἀλωῆς
Οἰνεὺς [4] ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας,
οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ [5] μεγάλοιο.

ἐν στίχ. 533—549. Οἱ κριτικοὶ εἰκάζουσιν, ὅτι χωρία τινὰ ἐκ τῆς διηγήσεως ταύτης ἐξέπεσαν ἢ ὡς γνωστὰ προϋποτίθενται.

[1] Οἱ μὲν Αἰτωλοὶ ὑπερασπίζοντες τὴν Καλυδῶνα. Τὸ ἀμύνεσθαι συνετάχθη πρὸς ἁπλῆν γενικήν, ὡς ἐν Μ 155 «ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων» καὶ Ν 700. Συνηθέστερον ὅμως εὑρηται μετὰ τῆς περὶ καὶ γενικῆς, ὡς ἐν Μ 142, 170, 227, 243 καὶ πολλαχοῦ. Τὸ δὲ ἐραννὸς παραγόμενον ἐκ τοῦ ἐράω σημαίνει τὸν ἀξιαγάπητον, τὸν τερπνόν.

[2] Δηλαδὴ τοῖς Αἰτωλοῖς. Κακὸν εἶναι ὁ σῦς, οὗ μνημονεύει ἐν στίχ. 539.

[3] Ὅ=ὅτι. Τὰ θαλύσια ἑρμηνεύει ὁ Σχολιαστής· «Τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις θεοῖς καὶ τῇ Δήμητρι». Βραδύτερον ἔλεγον ταῦτα συγχομιστήρια. Τὴν λέξιν γουνὸς (ὁ) παράγουσι τῶν ἐτυμολόγων τινὲς ἐκ τοῦ γένω, ὡς τὸ γόνος καὶ γονὴ καὶ ἐξηγοῦσιν γόνιμον πεδίον· ἀλλὰ καὶ ἡ παρεμβολὴ τοῦ υ δὲν κυροῦται δι' ἄλλου παραδείγματος καὶ μένουσι δυσεξήγητοι πολλαὶ φράσεις, π. χ. λ 323 «εἰς γουνὸν Ἀθηνάων ἱεράων», ἐν ᾧ ἡ Ἀττικὴ δὲν εἶναι γόνιμος καὶ Ἡρόδοτ. IV 99 «καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακόν». Διὰ ταῦτα προτιμᾶται ἡ συγγένεια πρὸς τὸ γόνυ, ὡς ἑρμηνεύεται καὶ ἐν τῷ Μεγάλῳ ἐτυμολογικῷ 2395 «Λέγεται δὲ γουνὸς ὑψηλὸς τόπος, ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ σώματι γονάτων, ἃ ἐξέχει». Σημαίνει λόφον, βουνόν. Ἀλωὴ δὲ λέγεται πᾶσα ἐσπαρμένη ἢ καταπεφυτευμένη χώρα, ἀμπελόφυτος, ἢ σιτοφόρος ἢ καὶ δενδροφόρος.

[4] Ἡ παραγωγὴ ἐκ τοῦ οἶνος, ὡς καὶ τὸ Οἰνόμαος, πρόδηλον. Οἱ ἀρχαῖοι ἔλεγον εὐτραπέλως, μὴ ποίει τὸν Οἰνέα Πηλέα· κατὰ τὸν Εὐστάθιον «τουτέστι μὴ τὸν τρυγίαν κυκῶν καὶ τῷ κρητῆρι παραμιγνὺς μετάβαλλε τὸν οἶνον ὡς εἰς πηλόν».

[5] Ἐνταῦθα, ὡς ἐν ζ 151, λέγεται Διὸς κούρη ἡ Ἄρτεμις.

ἦ λάθετ' ἢ οὐκ [1] ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ.
ἡ δὲ χολωσαμένη, δῖον γένος [2], ἰοχέαιρα,
ὦρσεν ἔπι χλούνην [3] σῦν ἄγριον ἀργιόδοντα,
ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων [4] Οἰνῆος ἀλωήν· 540
πολλὰ δ' ὅ γε προθέλυμνα [5] χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῇσιν ῥίζῃσι [6] καὶ αὐτοῖς ἄνθεσι μήλων.

Συνήθως οὕτω λέγεται ἡ Ἀθηνᾶ, ὡς Ε 733, Θ 384, Κ 553 καὶ πολλαχοῦ.

[1] Αἱ δύω λέξεις κατὰ συνίζησιν ἀναγνωστέαι μονοσυλλάβως. Ἢ τὸ ἐλησμόνησεν ἢ δὲν τὸ ἔβαλεν εἰς τὸν νοῦν. Οἱαδήποτε ὅμως περίστασις καὶ ἂν ἦτο, ἔπαθε μεγάλην βλάβην τῶν φρενῶν.

[2] Τινὲς τῶν ἀρχαίων θεωροῦντες τοῦτο κλητικὴν ἀπέδιδον εἰς τὸν Ἀχιλλέα, ὁ δὲ Νικάνωρ εἰς τὴν Ἄρτεμιν. Ἀλλ' οἱ νεώτεροι ἀποδίδουσιν εἰς τὸν σῦν, ὅστις εἶχεν ὑπεράνθρωπον, ὑπερφυσικὴν δύναμιν. Ἐπειδὴ δ' ὁ ποιητὴς λέγει ἐν Ζ 180 τὴν χείμαιραν θεῖον γένος, ὁ Düntzer διώρθωσε καὶ ἐνταῦθα οὕτω τὸ χωρίον. Ἰοχέαιρα εἶναι τοξότις, ὡς λέγομεν ἐν Ε 53.

[3] Παρά τε τοῖς ἀρχαίοις καὶ νεωτέροις ὑπάρχει μεγίστη διαφωνία περί τε τὸ ἔτυμον καὶ τὴν σημασίαν ταύτης τῆς λέξεως· κατά τινας μὲν σημαίνει τὸν ἐκτομίαν, κατ' ἄλλους τὸν κακοῦργον καὶ κατ' ἄλλους τὸν ἀφριστὴν ἐκ τοῦ χλουδεῖν, ὡς λέγει ὁ Σχολιαστής· «χλουδεῖν γὰρ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον». Τοῦτο δέχεται ὁ Döderlein. Κατὰ τὸν Χοιροβοσκὸν ὅμως εἶναι σύνθετον ἐκ τοῦ χλόη καὶ εὐνή, δηλ. εἶναι χλοεύνης. Ἀλλ' οὕτω πάλιν δίδονται πολλαὶ σημασίαι, ἃς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Οἱ μὲν τὸν ἐντομίαν· κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παρατρίβονται καὶ ἀγριώτεροι γίνονται. Οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα· τὸν γὰρ οἰκοτραφῆ σιαλόν φησιν· οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά». Ἀργιόδους δὲ λέγεται ὁ ἔχων λευκοὺς ὀδόντας.

[4] Ἡ μετοχὴ ἔχει ἐπιρρηματικὴν σημασίαν, κατὰ τὸ ἔθος αὐτοῦ, ὡς ἐν Π 260.

[5] Ὁ Ἀρίσταρχος ἐξήγει, ἄλλα ἐπ' ἄλλοις, ὅπερ δὲν φαίνεται πιθανόν. Συνήθως ἑρμηνεύεται πρόρριζα καὶ οἱ πλεῖστοι θεωροῦσι τὴν λέξιν συγγενῆ πρὸς τὸ θέμεθλον, θεμέλιον· ὁ Döderlein ὅμως ἀνάγει εἰς τὸ θλᾶν.

[6] Μὲ αὐτὰς τὰς ῥίζας. Τὸ ἄνθεσι μήλων εἶναι περιγραφή, ὡς καὶ ἐν ι 449 «τέρεν' ἄνθεα ποίης». Μῆλα ἐνταῦθα δὲν εἶναι ὁ γνωστὸς καρπός, ἀλλὰ σημαίνει πάντα τὰ ἀκρόδρυα. Ἡ ζημία τοῦ

τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος [1],
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
καὶ κύνας· οὐ μὲν γάρ κε δάμη [2] παύροισι βροτοῖσιν·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς [3].
ἡ δ' [4] ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτήν [5],
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι [6],
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζεν,
τόφρα δὲ Κουρήτεσσι κακῶς [7] ἦν, οὐδ' ἐδύναντο

Θηρίου ἦτο οὐχὶ μικρά, διότι τὰ δένδρα ἦσαν καρποφόρα.

[1] Τὸ ὄνομα θεωρεῖται σύνθετον ἐκ τοῦ μέλω καὶ ἄγρα, δηλ. φροντιστὴς κυνηγίου. Οἱ Αἰτωλοὶ ἦσαν θηρευταί.

[2] Ἡ κοινὴ γραφὴ εἶναι, κ' ἐδάμη, ἀλλὰ τὰ ἄριστα χειρόγραφα ἔχουσι κε δάμη. Ὅρα, ὅτι τὸ ποιητικὸν αἴτιον ἐδηλώθη διὰ δοτικῆς, ὡς καὶ ἐν Γ 301· «ἄλοχοι δ' ἄλλοισι δαμεῖεν».

[3] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἀντὶ τοῦ ἀποκτείνας καυθῆναι ἐποίησεν».

[4] Δηλαδὴ ἡ Ἄρτεμις, ἧς ὁ χόλος δὲν ἔληξεν. Ἡ φράσις ἀμφ' αὐτῷ ὁρίζεται ἀκριβέστερον διὰ τοῦ ἑπομένου στίχου.

[5] Ταραχὴν καὶ κραυγήν. Διὰ τῆς φράσεως ταύτης ὑπαινίσσεται ὁ ποιητὴς τὴν ἀρχὴν τοῦ πολέμου, ὅστις κατὰ τοὺς ἀρχαίους συνέστη διὰ τὴν ἑξῆς αἰτίαν. Ἡ κεφαλὴ καὶ τὸ δέρμα τοῦ συάγρου ἐδόθη ἀριστεῖον τῷ πρῶτον βαλόντι, ἤτοι τῷ Μελεάγρῳ, ὅστις ἐδωρήσατο τῇ ἐρωμένῃ αὐτοῦ Ἀταλάντῃ. Ἀλλ' οἱ παῖδες τοῦ Θεστίου, πρὸς μητρὸς θεῖοι τοῦ Μελεάγρου, ἀγανακτήσαντες ἀφείλοντο τὰ γέρα βίᾳ. Ταῦτα μαθὼν ὁ Μελέαγρος ἐφόνευσε τοὺς θείους, ὅπερ ἐλύπησε τὴν μητέρα, ὡς εἰκός. Λέγεται δέ, ὅτι ἡ μήτηρ, Ἀλθαία ὀνομαζομένη, κατέφλεξε τὸν ὑπὸ τῶν Μοιρῶν δοθέντα αὐτῇ δαλόν, ὅστις ἦτο συνεκτικὸς τῆς ζωῆς τοῦ Μελεάγρου. Τούτου δὲ καταφλεχθέντος ἡ μήτηρ μεταμεληθεῖσα κατέκαυσεν ἑαυτὴν ἐπὶ τῇ πυρᾷ τοῦ παιδός, αἱ δὲ ἀδελφαὶ ἀπαύστως θρηνοῦσαι μετεμορφώθησαν εἰς ὄρνεις, τὰς λεγομένας Μελεαγρίδας. Ἐπειδὴ δὲ οἱ παῖδες τοῦ Θεστίου ἦσαν Πλευρώνιοι, ἡ δὲ Πλευρὼν ἦτο ἡ ἕδρα τῶν Κουρήτων, ἐγένετο ὁ πόλεμος τούτων πρὸς τοὺς Αἰτωλούς.

[6] Λαχνήεις λέγεται ὁ δασύθριξ, ὁ δασύμαλλος.

[7] Κατὰ τὸν Σχολιαστὴν εἶναι ἐλλειπτικόν, δηλ. ἐννοεῖται ἡ με-

τείχεος ἔκτοσθεν [1] μίμνειν, πολέες περ ἐόντες·
ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος [2] ὅς τε καὶ ἄλλων
οἰδάνει [3] ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
ἤτοι [4] ὁ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ [5],
κούρῃ Μαρπήσσης καλλισφύρου [6] Εὐηνίνης
Ἴδεώ θ, ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν

τοχὴ ἔχοντα. Ἀλλὰ τὸ κακῶς εἶναι κατηγορούμενον, ὡς καὶ ἐν στίχ. 324 καὶ ἐν Α 416.

[1] Τινὲς ἐννοῦσιν ἐνταῦθα τὰ τείχη τῆς Καλυδῶνος, τῆς πατρίδος τοῦ Μελεάγρου, ὅπερ δὲν εἶναι πιθανόν· διότι ἡ προσθήκη αὕτη, ὡς ὀρθῶς παρατηρεῖ ὁ La Roche, ἤθελεν εἶναι οὐ μόνον περιττή, ἀλλὰ καὶ ὀχληρά· ἂν τὰ τῶν Κουρήτων ἔβαινον κακῶς, οὗτοι οὐδόλως ἠδύναντο νὰ σκεφθῶσι περὶ πολιορκίας τῆς Καλυδῶνος. Πρῶτον νικᾷ τις ἐν ἀνοικτῷ πεδίῳ τοὺς πολεμίους καὶ εἶτα πολιορκεῖ αὐτούς. Λοιπὸν τὸ κατ' ἀρχὰς οἱ Αἰτωλοὶ ἡγουμένου τοῦ Μελεάγρου ἐπολιόρκουν τοὺς Κουρῆτας ἐν Πλευρῶνι, τούτου δ' ἀποχωρήσαντος οἱ Κουρῆτες ἐπιθετικοὶ γενόμενοι ἐπολιόρκουν τοὺς Αἰτωλοὺς ἐν Καλυδῶνι.

[2] Τὴν αἰτίαν τοῦ χόλου μανθάνομεν ἐν στίχ. 565 καὶ ἑξῆς.

[3] Ἐρεθίζει. Ὁ Εὐστάθιος λέγει· «Ἀστείως δὲ πρὸς τὸ ἔδυ χόλος ἐπῆκται τὸ οἰδάνει νόος. Ἅπασα γὰρ ἐξοίδησις γίνεται ὄντος ἔσω τινός, οἷον πνεύματος ἢ τινος ἑτεροίου σώματος. Διὸ καὶ ὁ τοῦ Μελεάγρου νοῦς ἐξώδηκε, δύντος αὐτὸν χόλου». Ἡ ἀναφορικὴ αὕτη πρότασις περιέχει ὑπαινιγμὸν εἰς τὸν Ἀχιλλέα.

[4] Τινὲς νομίζουσιν, ὅτι παρελείφθη τὸ κύριον ῥῆμα τῆς χρονικῆς προτάσεως, ἀλλὰ τοῦτο ὑπάρχει ἐν τῷδε τῷ στίχῳ, δηλ. ὅτε ὁ Μελέαγρος ὠργίσθη, ἀπέσχε τῆς μάχης, ἤτοι ἔκειτο παρὰ τῇ ἀλόχῳ.

[5] Ἡ Κλεοπάτρα ἦτο θυγάτηρ τοῦ Ἴδα καὶ τῆς Μαρπήσσης, ἣν Ἴδας, ὁ υἱὸς τοῦ Ἀφαρέως ἢ τοῦ Ποσειδῶνος, ἁρπάζει. Ἀλλ' ὁ Ἀπόλλων ἀπαντήσας αὐτῷ λαμβάνεται τῆς Μαρπήσσης, ὁ Ἴδας ὅμως τείνει τὸ τόξον κατὰ τοῦ θεοῦ. Τότε ὁ Ζεὺς καταλείπει τὴν αἵρεσιν τοῦ γάμου ἐπὶ τῇ Μαρπήσσῃ, ἥτις φοβηθεῖσα μὴ ὁ Ἀπόλλων καταλίπῃ αὐτὴν κατὰ τὸ γῆρας, προτιμᾷ τὸν Ἴδαν.

[6] Κατὰ τὸν Σχολιαστήν· «Τὸ δὲ θῆλυ εἶδος ἐκ τῶν σφυρῶν καὶ τῆς ζώνης καὶ τῆς ὄψεως ὁρᾶται». Τὸ Εὐηνίνη εἶναι πατρω-

τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον [1]
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.
τὴν [2] δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην [3] καλέεσκον ἐπώνυμον οὕνεκ' ἄρ' αὐτῆς
μήτηρ ἀλκυόνος [4] πολυπενθέος οἶτον ἔχουσα
κλαῖ' [5], ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
τῇ [6] ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσιν
πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο [7],

νυμικόν, ὡς τὸ Ἀδραστίνη καὶ Ὠκεανίνη.

[1] Ὁ Ἡρακλῆς καὶ ὁ Εὔρυτος ἤριζον πρὸς τὸν Ἀπόλλωνα περὶ τόξων θ 224.

[2] Δηλαδὴ τὴν Κλεοπάτραν.

[3] Ὁ Εὐστάθιος παρατηρεῖ· «καὶ ὅτι διώνυμος ἡ Κλεοπάτρα, ὡς ὁ τοῦ Ἕκτορος υἱὸς καὶ ἄλλοι, τῇ μὲν μιᾷ τῶν κλήσεων παρὰ μόνων τῶν φιλτάτων ὀνομαζομένη ἐν μεγάροις, ὥς φησιν ὁ ποιητής, τῇ δὲ ἑτέρᾳ κοινῶς ὑπὸ τῶν ἄλλων».

[4] Οἱ ἀρχαῖοι παράγοντες τὸ ὄνομα παρὰ τὴν ἅλα κύειν εἶχον ἀξιοσημείωτον μῦθον. Ὑπῆρχε συζυγία ἀνδρὸς καὶ γυναικός, ἐξ ὧν ἐκεῖνος ὠνομάζετο Κῆϋξ. Ἐπειδὴ δὲ ἐμεγαλοφρόνησαν, ὁ μὲν ἀνὴρ ἔλεγεν ἑαυτὸν Δία, ἡ δὲ γυνὴ ἑαυτὴν Ἥραν. Ὁ Ζεὺς ἀχθεσθεὶς ἕνεκα τῆς ὕβρεως μετεμόρφωσεν αὐτοὺς εἰς ὄρνεα ἀναγκάσας νὰ νεοττεύωσι χειμῶνος καὶ περὶ αἰγιαλόν, ὅθεν ἀλκύονες ἐκλήθησαν. Ἀλλ' οὕτω καὶ τὰ ὠὰ ἐκλύζοντο καὶ τὸ γένος δὲν εἶχε διαδοχήν. Ὁ Ζεὺς ὅμως ἐλεήσας ἐπέταξεν, ἵνα γείνῃ γαλήνη κατὰ τὰς ἡμέρας, καθ' ἃς αἱ ἀλκυόνες ἐπωάζουσι καὶ εἰς φῶς ἐκφαίνουσι τοὺς νεοσσούς. Αὗται εἶναι αἱ πολυθρύλητοι ἀλκυονίδες ἡμέραι, αἱ ἐν χειμῶνι νήνεμοι καὶ γαλήνην ἔχουσαι, ὧν ὁ ἀριθμὸς εἶναι διάφορος παρὰ τοῖς ἀρχαίοις.

[5] Ἡ Κλεοπάτρα ἔλαβε τὸ ὄνομα ἐκ τῆς περιστάσεως τῆς μητρός, ὡς ὁ Τηλέμαχος ἐκ τῶν τοῦ Ὀδυσσέως καὶ ὁ Μεγαπένθης ἐκ τῶν τοῦ Μενελάου.

[6] Ἐπαναλαμβάνει τὴν διήγησιν τὴν διακοπεῖσαν ἐν στίχ.556.

[7] Εἶναι γενικὴ τοῦ αἰτίου εἰς τὸ ἀχέουσα. Τῆς Ἀλθαίας ἀδελφοὶ ἦσαν πολλοί, ὁ Ἴφικλος, ὁ Πολυφάντης, ὁ Φάνης, ὁ Εὐρύπυλος καὶ ὁ Πλήξιππος. Τούτου ἕνεκεν ὁ Ἀρίσταρχος ἐξήγει τοῦ ἀδελφικοῦ. Ἀλλ' ὁ La Roche παρατηρεῖ, ὅτι παρ' Ὁμήρῳ δὲν ὑπάρχει ὅμοιον παράδειγμα· παρὰ

πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην [1] χερσὶν ἁλοία
κικλήσκουσ' [2] Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν,
πρόχνυ [3] καθεζομένη, δεύοντο δὲ [4] δάκρυσι κόλποι,
παιδὶ δόμεν [5] θάνατον· τῆς δ' ἠεροφοῖτις [6] Ἐρινύς
ἔκλυεν [7] ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα·
τῶν [8] δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει

τοῖς ἔπειτα ὅμως ὑπάρχουσι πλεῖστα, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσ. 838 «παρθένος χείρ», ἐν Ἑκάβ. 920 «ναύτης ὅμιλος». Νομίζομεν, ὅτι δὲν εἶναι ἀνάγκη τοιαύτης βεβιασμένης ἑρμηνείας, διότι τοὺς πολλοὺς ἀδελφοὺς γινώσκουσιν οἱ μεταγενέστεροι καὶ οὐχὶ ὁ Ὅμηρος.

[1] Τὸ πολύφορβος σημαίνει, ὅ τι καὶ τὸ πολυβότειρα, πολυτρόφος. Τὸ ἁλοιάω εἶναι ποιητικὸν ἀντὶ ἁλοάω, ὡς ἀγνοῶ καὶ ἀγνοιῶ. Ἔπλησσε, ἐκτύπα τὴν γῆν μὲ τὰς χεῖρας. Οἱ ὁμηρικοὶ ἄνθρωποι ηὔχοντο τοῖς μὲν οὐρανίοις θεοῖς πρὸς τὰ ἄνω τὰς χεῖρας ὑψοῦντες (Θ 347), τοῖς δὲ θαλασσίοις ὀρεγόμενοι τὰς χεῖρας πρὸς τὴν θάλασσαν Α 351, τοῖς δὲ καταχθονίοις κόπτοντες τὴν γῆν.

[2] Δὲν σημαίνει ἁπλῆν κλῆσιν, ἀλλ' ἱκετικήν.

[3] Γονατιστά· ἐκ τῆς πρὸ καὶ γόνυ. Κατὰ τὸν Doederlein τὸ ἐπίρρημα εἶναι ἀντὶ τοῦ προγουνάξ ἢ προγνύξ, ὡς ὑπόδρα ἀντὶ ὑπόδραξ.

[4] Κεῖται παρενθετικῶς, δηλοῖ δὲ δακψίλειαν δακρύων.

[5] Ἐξαρτᾶται ἐκ τοῦ ἠράτο καὶ ἐκ τοῦ ἁλοία κικλήσκουσα, ὅπερ ὁμοίως παράκλησιν σημαίνει.

[6] Ἠεροφοῖτες λέγεται ἡ ἐν τῷ σκότῳ φοιτῶσα. Περὶ δὲ τοῦ τονισμοῦ τῆς λέξεως ὁ Σχολιαστὴς ἔχει τὸν ἑξῆς κανόνα· «Τὰ εἰς ις παρώνυμα θηλυκά, παρακείμενα τοῖς εἰς ης ἀρσενικοῖς βορυνομένοις, προπερισπᾶται, εἰ φύσει μακρᾶ παραλήγοιτο, πρωθῆβις, πολιῆτις, ἁλεῖτις, πλανῆτις, πρεσβῦτις. Οὕτω δὲ καὶ ἠεροφοῖτις. Ὅσα δὲ παρὰ τὸ πωλεῖν ἐστιν, ἀνεβίβασε τὸν τόνον, ἀρτόπωλις. ἁλφιτόπωλις· ἀλλ' οὖν καὶ ὅσα παρὰ τὸ κοῖτος, παράκοιτις, ἄκοιτις».

[7] Ἡ Ἀλθαία παρακαλεῖ τὸν Ἅιδην καὶ τὴν Περσεφόνην, ὑπακούει δὲ ἡ Ἐρινὺς ὡς ὑπηρετικὴ θεότης. Τὸ ἀμείλιχος ἔχει τὴν αὐτὴν σημασίαν τοῦ ἀμείλικτος. Κατά τινα διήγησιν ὁ Μελέαγρος ἔπεσεν ἐν τῇ μάχῃ πρὸς τοὺς Κουρῆτας διὰ τῶν βελῶν τοῦ Ἀπόλλωνος.

[8] Δηλαδὴ τῶν Κουρήτων, ἡ δὲ γενικὴ συναπτέα μετὰ τοῦ ὅμαδος καὶ δοῦπος, ὡς ἐν Κ 523

πύργων βαλλομένων [1]· τὸν δὲ λίσοντο γέροντες
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους [2], 575
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·
ὁππόθι πιότατον [3] πεδίον Καλυδῶνος ἐραννῆς,
ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι [4]
πεντηκοντόγυον [5], τὸ μὲν ἥμισυ οἰνοπέδοιο,
ἥμισυ δὲ ψιλὴν ἄροσιν [6] πεδίοιο ταμέσθαι. 580
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεύς,
οὐδοῦ ἐπεμβεβαὼς [7] ὑψηρεφέος θαλάμοιο,
σείων κολλητὰς [8] σανίδας, γουνούμενος υἱόν·
πολλὰ δὲ τόν γε κασίγνηται [9] καὶ πότνια μήτηρ

«Τρώων δὲ κλαγγή τε καὶ ἄσπετον ὦρτο κυδοιμὸς θυνόντων ἄμυδις» καὶ Π 635. Τὰ ἐνταῦθα λεγόμενα ποιοῦσιν ἀντίθεσιν πρὸς τὰ εἰρημένα ἐν στίχ.551 καὶ 552.

[1] Ἐπεξηγεῖ τὸν δοῦπον τοῦ προηγουμένου στίχου.

[2] Ἐπειδὴ ἐν τῷ ὁμηρικῷ αἰῶνι οἱ ἱερεῖς δὲν ἀπετέλουν ἴδιον σῶμα, προδήλως ὁ ποιητὴς ἐνταῦθα ἐννοεῖ τοὺς ἐπιφανεστάτους ἕνεκα τῆς προσωπικῆς αὐτῶν ἀξίας. Καὶ ἐν ἀρχῇ τοῦ Οἰδίποδος τυράννου ἱερεῖς πρεσβεύουσι παρὰ τῷ ἄνακτι τῶν Θηβῶν.

[3] Γονιμώτατον, εὐφορώτατον, ἐκ τῆς ῥίζης πι, ἐξ ἧς καὶ τὸ πιαίνω, πῖαρ καὶ τὰ τοιαῦτα. Τὸ ἐπίθετον πῖος εἶναι σπάνιον. Ἐνταῦθα ἐννοεῖται τὸ ἦν.

[4] Νὰ ἐκλέξῃ ὡραιότατον τέμενος.

[5] Κατά τινας μὲν πεντήκοντα πλέθρων, κατ' ἄλλους δὲ πεντήκοντα ζευγῶν. Οἰνόπεδον εἶναι ὁ ἀμπελών, ἡ δὲ γενικὴ προσδιορίζει τὸ τέμενος.

[6] Ὁ Εὐστάθιος ἑρμηνεύει· «Ψιλὴ δὲ ἄροσις ἡ ἄφυτος καὶ καθ' ἑαυτὴν μόνην οὖσα». Σημειωτέον, ὅτι περιεμένομεν γενικήν, ψιλῆς ἀρόσιος· ἀντὶ δὲ ταύτης ἐσχημάτισε νέαν πρότασιν θεὶς τὸ ταμέσθαι ἀντὶ τοῦ ἑλέσθαι.

[7] Πατῶν ἐπὶ τοῦ κατωφλίου. Αἱ τρεῖς ἀσύνδετοι μετοχαὶ αἱ ἀποδιδόμεναι εἰς τὸ λιτάνευε δίδουσι ζωηρότητα εἰς τὸν λόγον.

[8] Τὰς συμπαγεῖς, τὰς συνηρμοσμένας θύρας, ἤτοι τὰ θυρόφυλλα. Ὁ Σχολιαστὴς λέγει καὶ τὴν αἰτίαν· «Πράως κινῶν διὰ τὸ γῆρας. Τοῦτο δὲ ἐποίει, ὅτι ἤδη οἱ πολέμιοι τὸ τεῖχος ἀμφέβαινον».

[9] Αἱ ἀδελφαὶ τοῦ Μελεάγρου ὠνομάζοντο Γόργη καὶ Δηϊάνειρα.

ἐλλίσσονθ᾽· ὁ δὲ μᾶλλον[1] ἀναίνετο· πολλὰ δ᾽ἑταῖροι[2],
οἵ οἱ κεδνότατοι[3] καὶ φίλτατοι ἦσαν ἁπάντων·
ἀλλ᾽ οὐδ᾽ ὥς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
πρίν γ᾽ ὅτε δὴ θάλαμος πύκα βάλλετο[4], τοὶ δ᾽ ἐπὶ πύργων
βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ἄστυ.
καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
λίσσετ᾽ ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
κήδε᾽, ὅσ᾽ ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
ἄνδρας μὲν κτείνουσι[5], πόλιν δέ τε πῦρ ἀμαθύνει[6],
τέκνα δέ τ᾽ ἄλλοι[7] ἄγουσι βαθυζώνους τε γυναῖκας.
τοῦ δ᾽ ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα,
βῆ δ᾽ ἰέναι, χροΐ δ᾽ ἔντε᾽ ἐδύσετο παμφανόωντα.
ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
εἴξας ᾧ θυμῷ[8]· τῷ δ᾽ οὐκέτι δῶρ᾽ ἐτέλεσσαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ᾽ ἤμυνε καὶ αὖτως[9].
ἀλλὰ σὺ μή τοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων[10]
ἐνταῦθα[11] τρέψειε, φίλος· κάκιον δέ κεν εἴη

[1] Τόσον περισσότερον, διότι ἡ μήτηρ ἐξήγειρε τὴν ὀργὴν αὐτοῦ.

[2] Δηλαδὴ ἐλλίσσοντο.

[3] Σεβαστότατοι, ἀξιοσεβαστότατοι.

[4] Ἡ οἰκία τοῦ Μελεάγρου ἔκειτο ἐγγὺς τῶν τειχῶν τῆς πόλεως καὶ διὰ τὴν ἐγγύτητα ἠδύνατο ὁ θάλαμος νὰ βληθῇ ὑπὸ τῶν σφενδονιζομένων λίθων. Παράβαλ. καὶ στίχ. 574.

[5] Ἐκ σπουδῆς ἡ Κλεοπάτρα παρέλειψε τὸ ὑποκείμενον, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «ἐλλειπτικῶς εἴρηται. Ἡ γυνὴ γὰρ ἐπειγομένη οὐ λέγει τίνες εἰσὶν οἱ κτείνοντες, ἀλλ᾽ ἀφίησιν αὐτὸ διὰ τοὺς πολεμίους νοεῖσθαι ὡς φανερώτατον».

[6] Ἄμαθον ποιεῖ, κάμνει κόνιν, ὡς δὲ ἡμεῖς λέγομεν, στάκτην.

[7] Ἄλλοι ἐνταῦθα εἶναι οἱ ξένοι, οἱ πολέμιοι, ὡς ἐν Γ 301.

[8] Θυμὸς σημαίνει ἐν τῷ προκειμένῳ χωρίῳ ἐπιθυμίαν, δηλ. ὑποχωρήσας εἰς τὴν ἐπιθυμίαν του καὶ οὐχὶ εἰς τὰ δῶρα. Ὀνομάζει δὲ δῶρα τὸ τέμενος.

[9] Καὶ ἄνευ δώρων.

[10] Ὁ δαίμων νοεῖται ὡς ἐχθρά τις δύναμις.

[11] Εἰς τοῦτο· τὸ ἐπίρρημα

νηυσὶν καιομένῃσιν [1] ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροις [2]
ἔρχεο [3]· ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί.
εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα [4] δύῃς,
οὐκέθ' ὁμῶς τιμῆς [5] ἔσεαι, πόλεμόν περ ἀλαλκών». 605

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Φοῖνιξ, ἄττα [6] γεραιέ, διοτρεφές, οὔ τί με ταύτης
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
ἥ [7] μ' ἔξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ' ἀϋτμή [8]

τοῦτο μόνον ἐνταῦθα ἁπαντᾷ παρ' Ὁμήρῳ.

[1] Ὁ τόνος τῆς προτάσεως πίπτει ἐπὶ τοῦ καιομένῃσιν.

[2] Ἡ ἐπὶ μετὰ δοτικῆς σημαίνει τὸν ὅρον, τὴν συνθήκην, ὡς καὶ ἐν Κ 304 «ὑποσχόμενος τελέσειε δώρῳ ἔπι μεγάλῳ». Σημειωτέον, ὅτι ὁ Ἀρίσταρχος ἔγραφεν ἐπὶ δώρων. Προτρέπει δ' ὁ Φοῖνιξ τὸν Ἀχιλλέα, ὅπως δεχθῇ τὰ δῶρα οὐ μόνον ἕνεκα τῆς ὑλικῆς αὐτῶν ἀξίας, ἀλλὰ καὶ ἕνεκα τῆς τιμῆς, ἣν προσεπάγονται, ὡς γίνεται δῆλον ἐκ τῶν ἑπομένων.

[3] Εἰς τὴν μάχην δηλαδή.

[4] Περὶ τοῦ ἐτύμου ὁρα Β 883.

[5] Κατὰ συναίρεσιν ἀντὶ τιμήεις· ὁ Ἀρίσταρχος ὅμως ἔγραφε τιμῆς ἄνευ τοῦ ι θεωρῶν τὸ ὄνομα γενικῆς πτώσεως.

[6] Οἱ ἀρχαῖοι ἔλεγον τὸ προσφώνημα Θεσσαλικῆς γλώσσης, ὡς παραδίδει ὁ Εὐστάθιος. Λέγεται ὑπὸ νεωτέρου πρὸς πρεσβύτερον, ὡς ἡμεῖς λέγομεν, πατέρα μου.

[7] Τὸ χωρίον τοῦτο διαφόρως ἐξηγεῖται· διότι ἡ ἀναφορικὴ ἀντωνυμία δύναται νὰ ἀναφέρηται εἰς τὸ τιμῆς ἢ εἰς τὸ αἴσῃ ἢ εἰς τὴν τιμὴν τὴν ἐνυπάρχουσαν ἐν τῷ τετιμῆσθαι. Ἡ πρώτη ἑρμηνεία ὑπάρχει παρὰ τῷ Σχολιαστῇ λέγοντι· «οὐκ ἀγαθόν μοι τοιαύτη τιμή, δι' ἣν ἐγὼ μέχρι θανάτου ταῖς ναυσὶν ἐνδιατρίψω. Εἶπε γὰρ «εἰ μέν κ' αὖθι μένω, ὤλετο μέν μοι νόστος». Καὶ ὁ Koch τὴν ἀντωνυμίαν ἀναφέρει εἰς τὸ τιμῆς, ἀλλ' ἐξάγει διάφορον ἔννοιαν, δηλ. δὲν ἔχω ἀνάγκην τῆς ἀνθρωπίνης ἱκανοποιήσεως, ἡ ὁποία θὰ ἦναι ἀσφαλής, ἐφ' ὅσον ζῶ. Τοῦτο ἤθελε λέγει ὁ Ἀχιλλεὺς διὰ τὴν περὶ Μελεάγρου ὑποδιήγησιν. Ἂν δὲ ἀναφέρηται εἰς τὸ αἴσῃ, τὸ ἕξει ἰσοδυναμεῖ πρὸς τὸ καθέξει. Ἡ ἑρμηνεία αὕτη παρέχει τὴν δυσκολίαν, ὅτι αἴφνης ὁ Ἀχιλλεὺς ὁμιλεῖ περὶ τῆς διατριβῆς αὐτοῦ παρὰ ταῖς ναυσίν, ἐν ᾧ πρὸ ὀλίγου ἔλεγεν, ὅτι ἔμελλε νὰ ἀπέλθῃ. Ἴσως ἡ ἑρμηνεία αὕτη δὲν εἶναι ἀπίθανος, διότι ὁ Ἀχιλλεὺς ἤρξατο καμπτόμενος καὶ διανοούμενος, ὅπως μείνῃ.

ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ. 610
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
μή μοι σύγχει [1] θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν· οὐδέ τί σε χρή
τὸν [2] φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν [3] τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κ' ἐμὲ κήδῃ. 615
ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο [4] τιμῆς.
οὗτοι δ' ἀγγελέουσι, σὺ δ' αὐτόθι [5] λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ' ἠοῖ φαινομένηφιν [6]
φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ', ἦ κε μένωμεν».
Ἦ καὶ Πατρόκλῳ ὅ γ' ἐπ' ὀφρύσι νεῦσε σιωπῇ 620

[8] Ἐφ' ὅσον μένῃ ἀναπνοὴ εἰς τὸ στῆθός μου.

[1] Μὴ τάραττε, μὴ σύγχυζε. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὁμολογεῖ μὲν ἡττᾶσθαι τῷ ἐλέῳ, τὴν δὲ ἀφορμὴν διαβάλλει».

[2] Προδήλως ἐννοεῖ τὸν Ἀγαμέμνονα.

[3] Τὸ ἀσύνδετον κεῖται ἀντιθετικῶς. Ὅμως καλόν σοι εἶναι ὁμοῦ μὲ ἐμὲ νὰ μισῇς, ὁστισδήποτε ἐμὲ μισῇ. Παρατήρησον τὸ κομματικὸν καὶ γοργὸν τοῦ λόγου.

[4] Μόνον ἐνταῦθα τὸ ῥῆμα συντάσσεται πρὸς αἰτιατικήν, ἀλλαχοῦ δὲ πάντοτε πρὸς γενικήν, ὡς Α 278, Ο 189 καὶ λ 338. Παρὰ τοῖς μεθ' Ὅμηρον ὅμως ἐπικοὶς εὕρηται πρὸς αἰτιατικὴν συντεταγμένον ὡς παρ' Ἀπολλων. τῷ Ῥοδ. ΙΙΙ, 3 καὶ 208. Διὰ τοῦτο καὶ διότι ὁ Ἀχιλλεὺς αἴφνης ἐκ μομφῆς μεταβαίνει εἰς ὑπόσχεσιν ὑπὸ πολλῶν κριτικῶν, ὡς τοῦ Bekker, Döderlein, Franke, καὶ ἄλλων ὁ στίχος θεωρεῖται νόθος. Νομίζομεν ὅμως, ὅτι δὲν περιέχει ἔννοιαν ἀνάρμοστον· διότι ἐν τῇ φιλικῇ μομφῇ δὲν εἶναι ἀπίθανος τοιαύτη ἐπαγγελία.

[5] Προσδιορίζει οὐχὶ τὸ λέξεο, ἀλλὰ τὸ μίμνων.

[6] Ἡ γνησιότης τοῦδε τοῦ στίχου καὶ τοῦ προηγουμένου ἀμφισβητεῖται· διότι ὁ Πηλείδης φαίνεται ἀμφιταλαντευόμενος καὶ διότι ὁ Ὀδυσσεὺς ἀγγέλλων τῷ Ἀγαμέμνονι τὰ κατὰ τὴν πρέσβευσιν ἀγνοεῖ ταύτην τὴν ἀμφιταλάντευσιν. Ἀλλ' ὁ λόγος τοῦ Φοίνικος ἐπέδρασεν ἐπὶ τῆς καρδίας τοῦ ἥρωος καὶ ἄρχεται σκεπτόμενος νὰ μείνῃ, ὅπερ καὶ τῷ Αἴαντι μετ' ὀλίγον λέγει ἐν στίχ. 651. Ὁ Ὀδυσσεὺς δὲν μνημονεύει τῆς ἀμφιταλαντεύσεως ταύτης, διότι ὁ Ἀχιλλεὺς ἐν στίχ. 649 ἐπιμένει εἰς τὴν ἀπόφασιν αὐτοῦ.

Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
ἐκ κλισίης νόστοιο μεδοίατο [1]. τοῖσι δ' ἄρ' Αἴας
ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπεν [2].
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἴομεν [3]· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ' ὁδῷ [4] κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ που νῦν ἕαται [5] ποτιδέγμενοι· αὐτὰρ Ἀχιλλεύς
ἄγριον [6] ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν,
σχέτλιος [7], οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων
τῆς, ἣ μιν παρὰ νηυσὶν ἐτίομον ἔξοχον ἄλλων [8],

[1] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Λέγει νόστου ἐπιμελοῖντο, πάλιν τῆς ἀφόδου μνείαν λάβοιεν οἱ περὶ τὸν Ὀδυσσέα».

[2] Ὡς ἐν τοῖς λόγοις τῶν ἀγορευσάντων ῥητόρων ὁ Ὅμηρος ἀπεικόνισε τὸν χαρακτῆρα αὐτῶν, οὕτως ἐνταῦθα ἄριστα ἠθοποιεῖ τὸν ἀνδρεῖον, τὸν μεγαλόφρονα, τὸν ἁπλοῦν καὶ δυσκίνητον Αἴαντα. Οὗτος ἐπέμφθη, ἵνα ἐπιδράσῃ οὐχὶ διὰ τοῦ λόγου, ἀλλὰ διὰ τῆς παρουσίας αὐτοῦ. Ὁ Αἴας δὲν εἶναι ῥήτωρ, ἀλλὰ γενναῖος στρατιώτης ἤ, ὡς λέγει ὁ Εὐστάθιος, «ἔχει γὰρ εἰπεῖν καὶ αὐτὸς γλῶσσαν μὲν ἀργήν, χεῖρα δ' ἔχειν ἐργάτιν». Δὲν μακρηγορεῖ, ἀλλὰ λακωνίζει, ὁμιλεῖ παρρησιαστικώτερον καὶ ἐν τῇ ἀγανακτήσει πολλὴν ἐμφαίνει μεγαλοφροσύνην. Διὰ τὸν Αἴαντα ἦτο ἱκανόν, ἂν ὁ Ἀγαμέμνων μετενόει διὰ τὴν διαπραχθεῖσαν ἀδικίαν καὶ ἀπέδιδε τὸ ἀντικείμενον τῆς ἔριδος· ἡ προσβολὴ τῆς φιλοτιμίας δὲν ποιεῖ μεγάλην αἴσθησιν ἐν τῇ διανοίᾳ τοῦ Σαλαμινίου ἥρωος.

[3] Αὐθυπόταχτον ἀντὶ ἴωμεν, πηγαίνωμεν.

[4] Κατὰ τὸν Duentzer σημαίνει τὴν πρέσβευσιν· διότι στοχάζομαι, ὅτι ὁ σκοπὸς τοῦ λόγου δὲν θὰ ἐκπληρωθῇ τοὐλάχιστον διὰ ταύτης τῆς πρεσβεύσεως.

[5] Ἀντὶ εἶνται, ὡς κέαται ἀντὶ κεῖνται.

[6] Σκληρόν, ἀπάνθρωπον· δηλοῖ δὲ τὸν ὕψιστον βαθμὸν τοῦ πάθους ὡς ἐν Ω 41 «λέων δ' ὡς ἄγρια οἶδεν».

[7] Ἡ ὀνομαστικὴ αὕτη κεῖται ἐπὶ ἀναβοήσεως, ὡς μετ' ὀλίγον τὸ νηλὴς καὶ συχνάκις τὸ νήπιος. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἴδιον τῶν θυμουμένων μὴ πρὸς τοὺς μεμφομένους ἀποτείνεσθαι».

[8] Ἐννοεῖται τὸ Ἀχαιῶν.

νηλής· καί μέν τίς τε κασιγνήτοιο φονῆος [1]
ποινὴν [2] ἢ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος·
καί ῥ' ὁ [3] μὲν ἐν δήμῳ μένει αὐτοῦ, πόλλ' ἀποτίσας,
τοῦ [4] δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
ποινὴν δεξαμένῳ [5]· σοὶ δ' ἄλληκτόν τε κακόν τε
θυμὸν [6] ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης
οἵης [7]· νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ' ἀρίστας,
ἄλλα τε πόλλ' ἐπὶ τῇσι [8]· σὺ δ' ἴλαον ἔνθεο θυμόν,
αἴδεσσαι δὲ μέλαθρον [9]· ὑπωρόφιοι δέ τοί εἰμεν

[1] Ἡ γενικὴ αὕτη ἐξαρτᾶται τῶν χειρογράφων. Οὕτως μετὰ ἢ ἐκ τοῦ ποινὴν ἢ ἐκ τοῦ ἐδέξατο, ὅπερ δέχεται ἁπλῆν γενικήν, ὡς ἐν Α 596 «παιδὸς ἐδέξατο χειρὶ κύπελλον».

[2] Ποινὴ εἶναι τὸ ἀντίποινον τοῦ φόνου· διότι οὗτος ἐν τῷ ὁμηρικῷ αἰῶνι δὲν ἐθεωρεῖτο ὡς ἔγκλημα πρὸς τὴν πολιτείαν, ἀλλὰ πρὸς τοὺς συγγενεῖς τοῦ φονευθέντος. Διὰ τοῦτο ἠδύναντο οὗτοι λαμβάνοντες χρήματα νὰ ἐπιτρέψωσι τοῦ φονεῖ, ὅπως μείνῃ ἐν τῇ χώρᾳ. Ἄλλως ὁ φονεὺς ἠναγκάζετο νὰ φύγῃ. Τὸν συλλογισμὸν τοῦτον λέγουσιν, a majori ad minus.

[3] Ὁ φονεύσας ἢ ὁ φονεύς.

[4] Τοῦ ἐγγυτάτου συγγενοῦς, δηλ. τοῦ ἀδελφοῦ ἢ τοῦ πατρὸς ἀναχαιτίζεται, κρατιέται ἡ καρδιά του.

[5] Ἡ κοινὴ γραφὴ εἶναι δεξαμένου, ἀλλ' ὁ La Roche καὶ ὁ Ameis δέχονται τὴν δοτικὴν δεξαμένῳ, ἥτις εὑρίσκεται ἔν τισι προηγουμένην γενικὴν τίθεται δοτική, ὡς ἐν Κ 187 «ὡς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει νύκτα φιλασσομένοισι κακήν». Ὅρα καὶ Ξ 139 καὶ ψ 205.

[6] Θυμὸς ἐνταῦθα εἶναι ἡ ὀργή.

[7] Μετ' ἐμφάσεως ἐτέθη ἐν ἀρχῇ τοῦ στίχου· ποιεῖ δὲ ἀντίθεσιν πρὸς τὸ ἑπόμενον ἑπτά.

[8] Πρὸς ταύταις, ἐκτὸς τούτων, ὡς Η 163, Θ 262 καὶ ἀλλαχοῦ. Περὶ τῆς προσῳδίας τοῦ ἵλαον ὅρα Α 583.

[9] Σεβάσθητι τὴν οἰκίαν σου. Κυρίως λέγεται μέλαθρον ἡ μέση μεγάλη δοκός, ἐφ' ἧς στηρίζεται ἡ στέγη. Αὕτη δὲ ἐμελαίνετο ἐκ τοῦ καπνοῦ, ὡς καὶ νῦν ἔτι συμβαίνει ἐν ταῖς οἰκίαις τῶν ἀγροτῶν. Ὁ ἑπόμενος δὲ ἔχει αἰτιολογικὴν σημασίαν· τὸ δὲ ὑπωρόφιοι κεῖται κατηγορηματικῶς, ὡς ἐν Β 125 «ἐφέστιοι ἔασιν», ο 448. Διότι εἴμεθα ὑπὸ τὴν στέγην σου, ὑπὸ τὴν φιλοξενίαν σου.

πληθύος ἐκ [1] Δαναῶν, μέμαμεν [2] δέ τοι ἔξοχον ἄλλων
κήδιστοί [3] τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί».
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Αἶαν διογενές, Τελαμώνιε, κοίρανε λαῶν,
πάντα τί [4] μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι· 645
ἀλλά μοι οἰδάνεται [5] κραδίη χόλῳ, ὁππότ' ἐκείνων [6]
μνήσομαι, ὥς μ' ἀσύφηλον [7] ἐν Ἀργείοισιν ἔρεξεν

[1] Συντακτικῶς ἀνήκει εἰς τὸ ὑποκείμενον τοῦ εἰμεν. Ὁ Αἴας παρατηρεῖ, ὅτι ὁ Ἀχιλλεὺς περιφρονεῖ τοὺς ἀντιπροσώπους τῶν Δαναῶν. Ὁ Σχολιαστὴς ἀνευρίσκει πολλὰ ἐν τῷ λόγῳ τοῦ Αἴαντος· «πολλὰ δι' ὀλίγων ἐσήμανεν, ὑπεροψίας ἐπιτίμησιν, μετριότητος ὑπόμνησιν, αἰδῶ τῶν ἀνθρωπίνων παθῶν, ἔλεον ἱκεσίας, ἐντροπὴν συγγενείας, καὶ οἷος ἂν ἔοικεν ἀνήρ, ἀρετῇ μὲν ἴσος, ἀνθρωπισμῷ δὲ βελτίων, λόγῳ καὶ συμβουλῇ, συγγενὴς δὲ γενναῖος, ὥστε μηδ' ὁτιοῦν ἀντειπεῖν Ἀχιλλέα».

[2] Ἔχομεν τὴν ἀξίωσιν, ὅτι εἰμεθα.

[3] Ὑπερθετικὸν ἐκ τοῦ οὐσιαστικοῦ κῆδος· μάλιστα περισπούδαστοι.

[4] Τὸ τὶ μετριάζει τὴν σημασίαν τοῦ πάντα. Ὅλα μέχρι τινὸς βαθμοῦ συμφώνως μὲ τὴν καρδιάν μου ἐφάνης, ὅτι εἶπες. Κατὰ τὸν Ameis ἡ ὁμολογία αὕτη ἀναφέρεται κατ' ἐξοχὴν εἰς τὰ εἰρημένα ἐν στίχ. 640—642, καὶ οὐχὶ εἰς τὸ ἀντικείμενον τῆς ἔριδος (632)· διότι εἰς τοῦτο ἀντιτάσσει τὸ μέγεθος τῆς προσβολῆς.

[5] Φουσκόνει ἡ καρδιά μου ἀπὸ τὴν ὀργήν.

[6] Εἶναι οὐδετέρου γένους καὶ ἐπεξηγεῖται διὰ τῆς προτάσεως τῆς ἀρχομένης ἐκ τοῦ ὥς.

[7] Τὸ ἔτυμον τῆς λέξεως εἶναι ἀμφίβολον· οἱ ἀρχαῖοι παράγουσιν ἐκ τοῦ σοφός, π. χ. ὁ Εὐστάθιος λέγει· «γίνεται δὲ ἐκ τοῦ σοφὸς ἄσοφος κατὰ παραγωγὴν ἀσόφηλος, καὶ Αἰολικῶς ἀσύφηλος, ὁ ἀδόκιμος καὶ εἰς μηδὲν σοφός». Ἡ τοιαύτη σημασία πάντως ἁρμόζει εἰς τὸ χωρίον Ω 767 «ἀλλ' οὔπω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον». Ἀλλ' ἐνταῦθα ὑπάρχει δυσκολία· διότι τὸ ἀσύφηλον εἶναι γένους οὐδετέρου κατὰ τὴν σύνταξιν τοῦ κακὸν ῥέζειν τινά. Διὰ τοῦτο οἱ νεώτεροι νομίζουσιν, ὅτι εἶναι συγγενὲς τοῦ σιφλὸς (σιπαλὸς) σιφλοῦν Ξ 142. Κατὰ τοῦτο ἡ φράσις σημαίνει ἔπραξεν αἰσχρόν, ὑβριστικὸν κατ' ἐμοῦ. Τὸ δὲ ἐν Ἀργείοισι σημαίνει πρὸ τῶν

Ἀτρεΐδης, ὡσεί τιν' ἀτίμητον [1] μετανάστην.
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην [2] ἀπόφασθε.
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι [3] πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῇ [4] ἐμῇ κλισίῃ καὶ νηΐ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης [5] σχήσεσθαι ὀΐω.
Ὣς ἔφαθ', οἱ δὲ ἕκαστος [6] ἑλὼν δέπας ἀμφικύπελλον

Ἀργείων, ἢ παρόντων τῶν Ἀργείων.

[1] Ἀνάξιον τιμῆς, εὐτελῆ. Μετα-νάστης (ναίω) καὶ μεταναιέτης εἶναι ὁ βραδύτερον καλούμενος μότοικος, ὅστις δὲν εἶχε τὰς τιμὰς καὶ τὰ δικαιώματα τοῦ πολίτου.

[2] Τὴν δοθεῖσαν ἀπόκρισιν, καθ' ἣν δὲν δέχεται νὰ βοηθήσῃ τοῖς Ἀχαιοῖς. Τὸ περὶ ἐπιστροφῆς εἰς τὴν πατρίδα μεταβάλλει ἐν τῇ ἑπομένῃ περιόδῳ πεισθεὶς ἐκ τῶν λόγων τοῦ Φοίνικος καὶ Αἴαντος. Οἱ στίχοι ὅμως 650—655 ὑπὸ πολλῶν κριτικῶν, ὡς ὑπὸ τοῦ Moritz, Bernhardy καὶ ἄλλων, θεωροῦνται ὡς μεταγενεστέρα προσθήκη.

[3] Ὁ Ἀρίσταρχος ἐγίνωσκε καὶ γραφὴν φλέξαι. Τὸ σμῦξαι ὁ Εὐστάθιος ἑρμηνεύει· «τὸ καῦσαι, ἢ καπνὸν ἐκ πυρὸς ἀναδοῦναι, ὃ καὶ τύφεσθαι λέγεται». Περιτεύει ὅμως τὸ πυρί· κατὰ τὸν Düntzer ἡ σημασία τοῦ καίειν κεῖται ἐν τῷ πυρί, διότι κατὰ τοῦτον τὸ σμύχειν σημαίνει φθείρειν, ἀφανίζειν, ὡς δεικνύει καὶ τὸ ἐπίθετον σμυγερός. Ἐνταῦθα κατὰ τὸν Εὐστάθιον ἔπρεπε νὰ εἴπῃ σμύξαντα ὡς τὸ κτείναντα· ὁ αὐτὸς ὅμως παρατηρεῖ, ὅτι δυνάμεθα νὰ νοήσωμεν τὸ πρὶν ἀπὸ κοινοῦ, ὅπερ εἶναι ὀρθότερον.

[4] Ἡ φράσις τῇ ἐμῇ ἀναγνωστέα ἐν συνιζήσει. Τὸ ἐμῇ πρέπει νὰ ἐννοήσωμεν καὶ εἰς τὸ νηΐ μελαίνῃ.

[5] Συντακτικῶς ἀνήκει εἰς τὸ σχήσεσθαι· ἐκ τοῦ ὀνόματος δὲ τούτου δυνάμεθα νὰ νοήσωμεν τὸ ἀπαρέμφατον μάχεσθαι πρὸς συμπλήρωσιν τοῦ μεμαῶτα. Τὸ δὲ ὀΐω λέγει ὁ Ἀχιλλεὺς ἢ εἰρωνικῶς ἢ κατὰ λιτότητα. Τοῦτο εἶναι ἀπόκρισις πρὸς τὴν εἴδησιν τοῦ Ὀδυσσέως περὶ τῶν σχεδίων τοῦ Ἕκτορος ἐν στίχ. 235 καὶ 249.

[6] Εἶναι παράθεσις εἰς τὸ οἱ δέ.

σπείσαντες [1] παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσεν
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσεν,
κώεά [2] τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ Ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ [3] κλισίης εὐπήκτου·
τῷ δ' ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγεν,
Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο· πὰρ δ' [4] ἄρα καὶ τῷ
Ἶφις [5] ἐΰζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεύς

[1] Ἐν πολλαῖς τῶν ἀρχαίων ἐκδόσεων καὶ ἐν τῇ ἑτέρᾳ τοῦ Ἀριστάρχου ἐφέρετο ἡ γραφὴ λείψαντες. Οἱ ὁμηρικοὶ ἄνθρωποι ἔσπενδον μετὰ τὸ τέλος τοῦ συμποσίου καὶ ὅτε ἔμελλον νὰ κοιμηθῶσιν I 712, γ 334, 395 καὶ πολλαχοῦ. Αἱ νῆες τοῦ Ἀχιλλέως ἔκειντο ἐν τῇ ἐσχάτῃ ἄκρᾳ τοῦ στρατοπέδου Λ 8.

[2] Ἡ λέξις κῶας παραγομένη ἐκ τοῦ κεῖμαι σημαίνει στρῶμα, μάλιστα δερμάτινον, ὡς λέγει ὁ Εὐστάθιος· «εἰσὶ δὲ κώεα μὲν δέρματα εὐθετηθέντα εἰς τὸ κεῖσθαι». Περὶ δὲ τοῦ ἐτύμου τῆς λέξεως ῥῆγος ὑπάρχει διαφωνία· οἱ ἀρχαῖοι γραμματικοὶ παράγουσιν ἐκ τοῦ ῥέζω=βάπτω. Ὁ δὲ Passow προτιμᾷ τὴν παραγωγὴν ἐκ τοῦ ῥήγνυμι, ῥάκος, ῥάγος. Κατὰ μὲν τὴν πρώτην παραγωγὴν σημαίνει βαπτὸν σκέπασμα, κατὰ δὲ τὴν δευτέραν κομμάτι ἤ, ὡς λέγει ὁ Εὐστάθιος «τὸ σάγιον διὰ τὰ ῥήγματα τῶν κροσσῶν». Ὑπάρχουσι δὲ καὶ οἱ ἐξηγοῦντες προσκεφάλαιον, ὅπερ ἀπίθανον. Τὸ δὲ ἄωτος ὁ Buttmann παράγει ἐκ τοῦ ἄημι· κυρίως δὲ σημαίνει τὸν λεπτότατον φλόκκον τοῦ προβάτου· ἐνταῦθα δὲ λέγεται περὶ τοῦ λίνου ἕνεκα τῆς λεπτότητος αὐτοῦ. Ὁ Εὐστάθιος ἑρμηνεύει· «σκέπασμά τι σινδονοειδές».

[3] Ἡ λέξις παράγεται ἐκ τοῦ μύω καὶ σημαίνει τὸ ἐνδότατον παντὸς τόπου, ὡς δόμου, μεγάρου, θαλάμου, κλισίης, ἄντρου, σπείους, λιμένος.

[4] Δηλαδὴ ἐλέξατο.

[5] Τὸ ὄνομα παραγόμενον ἐκ τοῦ ἴφι δηλοῖ τὴν κρατεράν, τὴν ἰσχυράν, ὡς καὶ τὸ Ἰφεὺς ἐν Π 417.

Σκῦρον [1] ἑλὼν αἰπεῖαν, Ἐνυῆος [2] πτολίεθρον.
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν [3] 670
δειδέχατ' [4] ἄλλοθεν ἄλλος ἀναστᾰδόν, ἔκ τ' ἐρέοντο·
πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Εἶπ' ἄγε μ', ὦ πολύαιν [5] Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ἦ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ,
ἦ ἀπέειπε, χολος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;» 675
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
«Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι [6] χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται [7] μένεος, σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
αὐτόν σε [8] φράζεσθαι ἐν Ἀργείοισιν ἄνωγεν, 680

[1] Ὁ μῦθος, καθ' ὃν ὁ Ἀχιλλεὺς ἐν σχήματι παρθένου διέτριβεν ἐν τῷ παρθενῶνι τοῦ Λυκομήδους, ὅπως μὴ στρατεύσηται ἐπὶ τὴν Τροίαν, εἶναι ἄγνωστος τῷ ποιητῇ. Ἐνταῦθα γίνεται λόγος περὶ ἐχθρικῆς εἰσβολῆς κατὰ τῆς Σκύρου καὶ οὐχὶ περὶ θηλυστολίας καὶ διαθαλαμεύσεως. Οἱ ἀρχαῖοι παραδίδουσιν, ὅτι ὁ Πηλείδης ἐστρατεύσατο ἐπὶ τὴν Σκῦρον, ὅτε ἐστρατολόγουν οἱ Ἀχαιοὶ ἐν Αὐλίδι· διότι ἐν Σκύρῳ Δόλοπες οἰκοῦντες ἀπέστησαν τῆς ἀρχῆς τοῦ Πηλέως. Ἐπειδὴ ὅμως καὶ ταῦτα ἀγνοεῖ ὁ ποιητής, οἱ ἀρχαῖοι εἴκαζον, ὅτι ἡ Σκῦρος ἦτο πόλις τῆς Φρυγίας, ὅπερ ὁ Koch δέχεται ὡς ὀρθόν.

Τὸ ὄνομα εἶναι συγγενὲς τοῦ Ἐνὼ καὶ Ἐνυάλιος.

[3] Μόνον οἱ βασιλῆες, ὡς γίνεται δῆλον ἐκ τοῦ στίχου 710.

[4] Ἐδεξιοῦντο μὲ χρυσᾶ ποτήρια. Τὸ δὲ ἀναστᾰδὸν ἐσχηματίσθη κατὰ τὸ ἐπιστᾰδὸν καὶ παραστᾰδὸν καὶ σημαίνει ὀρθά, ὄρθιοι.

[5] Ὁ Buttmann τὸν πολύαινον ἐξηγεῖ πολύμυθον, δηλ. διακρινόμενον διὰ τοὺς πολλοὺς καὶ συνετοὺς λόγους. Συνήθως ὅμως ἑρμηνεύεται, ἐπαινετός, ἔνδοξος, περίφημος. Ὅρα λεξικὸν Ebeling ἐν λ.

[6] Ὁ Σχολιαστὴς παρατηρεῖ· «δίκην γὰρ πυρὸς ὁ θυμὸς τὰ ἐντὸς ὑποσμύχει.

[7] Εἶναι διάφορος τύπος τοῦ πίμπλημι· ἀλλ' ἀκόμη περισσότερον πληροῦται ὀργῆς.

[8] Ὁ Ἀσκαλωνίτης ὀρθοτονεῖ τὴν σέ, ἀλλ' ὁ La Roche παρατη-

ὅππως κεν νῆάς τε σόῳς καὶ λαὸν Ἀχαιῶν·
αὐτὸς [1] δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφιν
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
οἶκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε [2] τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἔθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ὡς ἔφατ'· εἰσὶ [3] καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὥς γὰρ ἀνώγει,
ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἔπηται
αὔριον [4], ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξει».
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
[μῦθον [5] ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.]
δὴν δ' ἄνεω ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης [6].

ρεῖ, ὅτι ὁ τόνος πίπτει ἐπὶ τῆς αὐτὸν καὶ οὐχὶ ἐπὶ τῆς προσωπικῆς ἀντωνυμίας.

[1] Ἡ ἀντωνυμία ἀνήκει εἰς τὸ ἀπαρέμφατον ἑλκέμεν. Κατὰ τὸν Εὐστάθιον σιωπῶνται τὰ πρὸς τὸν Φοίνικα καὶ τὸν Αἴαντα εἰρημένα διὰ τὴν ἐξῆς αἰτίαν· «ἵνα μὴ ἀγαθὰ ἐλπίσαντες οἱ Ἕλληνες ἀναπέσωσιν, ἀλλ' ἐλπίδας μὴ ἔχοντες εὐψυχότερον ἀγωνίσωνται». Ὁ λόγος οὗτος τοῦ Ὀδυσσέως διὰ τὴν βραχυλογίαν ἔχει οὐχὶ μικρὰν ἀξίαν.

[2] Δὲν λέγει δήουσιν, ἀλλὰ δήετε κατ' ὀρθὸν λόγον.

[3] Τὸ εἰσὶ συνετάχθη ἀπαρεμφάτῳ πρὸς δήλωσιν τοῦ δυνατοῦ ὑπάρχουσι καὶ οὗτοι δά, οἱ ὁποῖα δύνανται νὰ εἴπωσι ταῦτα.

[4] Οἱ στίχοι 688—692 ἠθετοῦντο ὑπό τε τοῦ Ἀριστοφάνοις καὶ τοῦ Ἀριστάρχου δι' αἰτίας, ἃς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Ὅτι καὶ νεώτεροι τᾶς νοήμασι, καὶ τῇ συνθέσει πεζότεροι, καὶ ὅτι ὡς ἀπιστησόμενος μάρτυρας ἐπισπᾶται».

[5] Κεῖται καλῶς ὁ στίχος οὗος ἐν 431, ἀλλ' ἐνταῦθα ἥκιστα ἁρμόζει. Τούτου ἕνεκεν οἱ Ἀλεξινδρινοὶ ἠθέτουν τὸν στίχον.

[6] Διὰ τὴν ἀποτυχίαν τῆς πρεσβεύσεως οἱ Ἀχαιοὶ τὴν ἐλπίδα

«Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μὴ [1] ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα,
μυρία δῶρα διδούς· ὁ δ' ἀγήνωρ [2] ἐστὶ καὶ ἄλλως·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας [3]·
ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσιν,
ἤ κε μένῃ· τότε δ' αὖτε μαχήσεται [4], ὁππότε κέν μιν
θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
σίτου καὶ οἴνοιο· τὸ [5] γὰρ μένος ἐστὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ [6] ῥοδοδάκτυλος Ἠώς,
καρπαλίμως πρὸ νεῶν ἐχέμεν [7] λαόν τε καὶ ἵππους
ὀτρύνων [8], καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι».

ἐπικουρίας ἀποβαλόντες νοοῦσιν, ὅτι καταλείπονται ἐν ταῖς ἰδίαις δυνάμεσιν. Τὴν ἰδέαν ταύτην ἀντιπροσωπεύει ὁ Διομήδης, ὅστις πρὸ ὀλίγου ἠρίστευσεν.

[1] Κοινῶς γράφεται μηδ', ἀλλ' ὁ La Roche βεβαιοῖ, ὅτι τὰ ἄριστα χειρόγραφα ἔχουσι μή. Ἡ αὐτὴ χασμῳδία ὑπάρχει καὶ ἐν Ρ 686, Σ 19 καὶ λ 548. Τὴν ἄρνησιν σύναψον μετὰ τοῦ λίσσεσθαι· διότι τὸ ὄφελες κεῖται μόνον ἀντὶ τοῦ εἴ ἤ εἴθε.

[2] Ἐκ τοῦ ἄγαν καὶ ἀνήρ· συνήθως τίθεται ἐπὶ ἐπαίνου, δηλ. σημαίνει τὸν ἀνδρεῖον· ἐνταῦθα ὅμως κεῖται ἐπὶ ψόγου, διότι δηλοῖ τὸν ἀγέρωχον, τὸν ὑπερόπτην, ὡς καὶ ὁ Σχολιαστὴς παρατηρεῖ· «ὁ ἄγαν ὑβριστικὸς καὶ διὰ τῆς ἀνδρείας ὑπερπεπτωκὼς εἰς ὕβριν». Ἡ φράσις καὶ ἄλλως δηλοῖ καὶ ἄνευ τῶν παρακλήσεών σου, ἐκ φύσεως.

[3] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον καὶ ἐφυσίωσας».

[4] Ἐπειδὴ ὁ Διομήδης δὲν λαμβάνει ὑπ' ὄψει, ὅτι ὁ Πηλείδης κατὰ τὸν λόγον τοῦ Ὀδυσσέως ἀποπλέει, ὑπό τινων ἀπορρίπτονται οἱ στίχοι 701—703.

[5] Ἀναφέρεται μὲν εἰς τὸ σίτου καὶ οἴνοιο, ἀλλὰ καθ' ἕλξιν συνεφώνησε πρὸς τὸ μένος.

[6] Καλὴ ἡ Ἠὼς λέγεται μόνον ἐνταῦθα.

[7] Τὸ ἀπαρέμφατον κεῖται ἀντὶ προστακτικῆς. Ὅρα, ὅτι ἄνευ προσφωνήσεως ἐπανέρχεται εἰς τὸν Ἀγαμέμνονα.

[8] Ἁρμόζει κυρίως μόνον εἰς

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες,
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο. 711
καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ἕκαστος,
ἔνθα δὲ κοιμήσαντο καὶ ὕπνου δῶρον ἔλοντο.

τὸν λαόν. Διὰ τοῦ στίχου τούτου προαγγέλλεται ἡ ἀριστεία τοῦ Ἀγαμέμνονος, ἥτις ὑπάρχει ἐν τῇ ἑνδεκάτῃ ῥαψῳδίᾳ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ Κ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἀγαμέμνων ἀγρυπνήσας ἀνίστησι τοὺς ἀρίστους τῶν Ἑλλήνων, αὐτός τε καὶ Μενέλαος. Καὶ ἐπὶ τῆς τάφρου βουλευσάμενοι πέμπουσι κατασκόπους εἰς τὸ τῶν Τρώων στρατόπεδον, Ὀδυσσέα καὶ Διομήδην· οἳ Δόλωνα μὲν συναντήσαντες ἀναιροῦσι, πυθόμενοι δὲ παρ' αὐτοῦ Ῥῆσον τινὰ καὶ Θρᾷκας παρεῖναι, ἔνθα τε ἐστρατοπεδεύσαντο, ἀπελθόντες δολοφονοῦσι, καὶ τοὺς ἵππους ἀπελάσαντες εἰς τὸν ναύσταθμον παραγίνονται.

ΙΛΙΑΔΟΣ Κ.

ΔΟΛΩΝΕΙΑ [1].

"Αλλοι μὲν [2] παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν

[1] Ἐν τοῖς σχολίοις καὶ παρὰ τῷ Εὐσταθίῳ ὑπάρχει ἡ σημείωσις· «Φασὶ δὲ οἱ παλαιοὶ τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ ἐγκαταλεγῆναι τοῖς μέρεσι τῆς Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν». Νομίζομεν, ὅτι ἡ εἴδησις αὕτη εἶναι κρίσις τῶν Ἀλεξανδρινῶν, οἵτινες περιῆλθον εἰς τὴν εἰκασίαν ταύτην ἀπιδόντες εἰς τὸν ἐπεισοδιακὸν χαρακτῆρα ταύτης τῆς ῥαψῳδίας. Παρ' ἐπεισοδίου δὲν περιεμένομεν πολλοὺς δεσμοὺς συνδέοντας τὴν ῥαψῳδίαν ταύτην μετὰ τῶν ἡγουμένων καὶ ἑπομένων· καὶ ὅμως τοιοῦτοι δὲν ἐλλείπουσι π. χ. ἐν στίχ. 106 διαρρήδην μνημονεύεται ἡ μῆνις τοῦ Ἀχιλλέως. Πρὸ πάντων ἡ θέσις τῶν πραγμάτων, ὁ τόπος καὶ ὁ χρόνος ἀναμφιβόλως συμφωνοῦσιν. Εὑρίσκομεν τὴν ἐν τῇ ἑβδόμῃ ῥαψῳδίᾳ ἀνορυχθεῖσαν τάφρον, καὶ οὐ μόνον τὴν νύκτα, ἀλλὰ καὶ τὸ μέρος τῆς νυκτός, ὅπερ ἐν τῇ ἡγουμένῃ ῥαψῳδίᾳ ὑπελείφθη. Ὁ Lachmann παρατηρεῖ, ὅτι ἡ πρωΐα ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἐπέρχεται λίαν βραδέως· διότι κατ' αὐτὸν ἐν τῇ ἐξόδῳ ἤδη τῶν δύω ἡρώων (τοῦ Ὀδυσσέως καὶ Διομήδους) ἡ πρωΐα ἦτο ἐγγύς, καὶ ὅμως οὗτοι ἀπῆλθον εἰς τὸ στρατόπεδον τῶν πολεμίων καὶ ἐπανελθόντες δειπνοῦσι καὶ εἶτα ἔρχεται ἡ πρωΐα. Ἀλλ' ἐν τῇ ἐξόδῳ ὑπῆρχε πολλὴ νύξ, διότι μόνον τὰ δύω τρίτα τῆς νυκτὸς παρῆλθον, τριτάτη δ' ἔτι μοῖρα λέλειπται Κ 253. Τὴν ἑνότητα τοῦ τόπου καὶ τοῦ χρόνου θεωρεῖ καὶ ὁ Hentze ἀναμφισβήτητον, ἀλλὰ νομίζει, ὅτι ὑπάρχουσιν ἀμφιβολίαι ὡς πρὸς τὴν ἐσωτερικὴν ἑνότητα· π. χ. ἡ ἀπόγνωσις τοῦ Ἀγαμέμνονος εἰκονίζεται ὑπερβολικωτέρα, ἐν ᾧ ἐν τῷ τέλει τῆς ἡγουμένης ῥαψῳδίας δὲν εἶναι αἰσθητή. Τοῦτο εὑρίσκομεν ὅλως φυσικόν· ἐν τῇ ἡγουμένῃ ὁ Ἀτρείδης ἐταπεινώθη

εὗδον παννύχιοι [1], μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ' οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνος ἔχε γλυκερός, πολλὰ φρεσὶν ὁρμαίνοντα [2].
ὡς [3] δ' ὅτ' ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο,
τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον [4] ἠὲ χάλαζαν
ἢ νιφετόν [5], ὅτε πέρ τε χιὼν ἐπάλυνεν [6] ἀρούρας,
ἠέ ποθι πτολέμοιο μέγα [7] στόμα πευκεδανοῖο,

πρὸ τοῦ Ἀχιλλέως καὶ διὰ τῆς ταπεινώσεως δὲν ἐπέτυχε τοῦ σκοποῦ· διὰ τὴν ἀπόκρισιν τοῦ Πηλείδου ὁ Ἀτρείδης ἐταράχθη καὶ ἐνταῦθα βλέπομεν αὐτὸν μὴ δυνάμενον νὰ κοιμηθῇ. Ἂν ἡ ραψῳδία αὕτη ἔλειπεν, ὁ ἡγεμὼν τῶν Ἀχαιῶν ἤθελε κοιμᾶσθαι κατὰ τὴν κινδυνώδη ταύτην νύκτα, ὅπερ ἄτοπον. Ὅρα καὶ Ἱστορ. τῶν ὁμηρ. ἐπῶν σελ. 276 καὶ 313.

[2] Ἡ ἀρχὴ τῆς δεκάτης ραψῳδίας ὁμοιάζει πρὸς τὴν τῆς δευτέρας. Ἐκεῖ μὲν λέγεται περὶ τοῦ Διός, ἐνταῦθα δὲ περὶ τοῦ Ἀγαμέμνονος.

[1] Εἶναι πρόδηλον, ὅτι παννύχιοι δὲν σημαίνει δι' ὅλης τῆς νυκτός· διότι τὸ πλεῖστον μέρος ταύτης εἶχεν ἤδη παρέλθει. Παράβαλλ. Β 2. Ἀλλαχοῦ ὁ ὕπνος λέγεται λυσιμελὴς υ 57 καὶ ψ 343 καὶ νήδυμος ἐν Β 2.

[2] Δηλοῖ τὸ αἴτιον, δι' ὃ δὲν ἐκοιμᾶτο ὁ Ἀτρείδης. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὸ πολυμερὲς καὶ ἀπέραντον τῆς φροντίδος διὰ τοῦ πολλὰ ὁρμαίνειν ἐδήλωσεν».

[3] Ἡ παραβολὴ αὕτη ἐπαινεῖται ὡς μεγαλοπρεπεστάτη, διότι ὁ ποιητὴς εἰκάζει τὸν μέγαν βασιλέα Διὶ ἀστράπτοντι. Ἀλλαχοῦ τὸν πτωχικὸν Ὀδυσσέα κατασμικρύνει διὰ τῆς εἰκόνος παραβάλλων πρὸς ἄνδρα ὀπτῶντα γαστέρα γέμουσαν κνίσσης.

[4] Τὸ ἐπίθετον τοῦτο ἐπιτείνει ἐκ παραλλήλου τὸ πολύν, πολλὴν βροχήν, ἀκατάπαυστον. Παράβαλλ. Γ 4.

[5] Ἐκ τοῦ νίφω παραγόμενον σημαίνει τὴν πίπτουσαν χιόνα. Ἡ λέξις γράφεται καὶ νίψετος, ἀλλ' ὁ Ἀρκάδιος καὶ ἄλλοι τονίζουσι νιφετός.

[6] Ἐπασπάλισεν, ὡς καὶ ἡμεῖς λέγομεν, τὸ χιόνι ἐπασπάλισε τὰ χωράφια.

[7] Τινὲς ἑρμηνεύουσι τὸ μέτωπον τῆς φάλαγγος, ὅπερ δὲν εἶναι ὀρθόν. Ἐπειδὴ ὁ πόλεμος παραβάλλεται πρὸς θηρίον, δύναται νὰ ἔχῃ καὶ στόμα. Τολμηρότερον εἶναι τὸ ξιφῶν στόματα· καὶ ἡμεῖς οἱ νεώτεροι λέγομεν τολμηρῶς πάγος μὲ 'δόντια καὶ περὶ πάσης δυσκόλου ἐργασίας, ὅτι ἔχει 'δόντι. Περὶ

ὡς πυκίν' ἐν στήθεσσιν ἀνεστενάχιζ' Ἀγαμέμνων
νειόθεν [1] ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός. 10
ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωϊκόν ἀθρήσειε [2],
θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό,
αὐλῶν [3] συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων·

τῆς παραγωγῆς καὶ τῆς σημασίας τοῦ πευκεδανὸς ὑπάρχει διαφωνία. Κατὰ τοὺς ἀρχαίους, οἷς ἀκολουθοῦσι καί τινες τῶν νεωτέρων, παράγεται ἐκ τοῦ π ε ύ κ η. Σημειωτέον, ὅτι καί τι πικρὸν φυτὸν ἔλεγον π ε υ κ έ δ α ν ο ν κατὰ τὸ ἐ ρ υ θ ρ ό δ α ν ο ν καὶ ἐ ρ ε υ θ έ δ α ν ο ν. Κατ' ἄλλους ὅμως παράγεται ἐκ τῆς ῥίζης πικ, ἐξ ἧς καὶ τὸ π ι κ ρ ό ς. Ὁπωσδήποτε σημαίνει τὸν πικρόν, κατὰ τὸν Buttmann ὅμως τὸν ὀξύν, τὸν κοπτερόν, τὸν ὀδυνηρόν, ὅπερ ὑπό τινων θεωρεῖται ὡς ὀρθότερον.

[1] Ἐκ βάθους τῆς καρδίας, ὡς Φ 317 «τά που μάλα νειόθι λίμνης κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα». Κατὰ τὸν Εὐστάθιον συνεκόπη ἐκ τοῦ ν ε ι α τ ό θ ε ν, κατ' ἄλλους ὅμως παράγεται ἐκ τοῦ νέος. Ἀντὶ τοῦ τ ρ ο μ έ ο ν τ ο ὁ Ζηνόδοτος ἔγραφε φ ο β έ ο ν τ ο, ἀλλ' ὁ Σχολιαστὴς ἀντιπαρατηρεῖ· «τὸν δὲ φόβον εἴωθε λέγειν Ὅμηρος τὴν μετὰ φυγῆς δειλίασιν».

[2] Ἀρχαῖοι καὶ νεώτεροι ἀποροῦσιν, ὅτι ὁ Ἀγαμέμνων ἠδύνατο ἐκ τῆς σκηνῆς νὰ βλέπῃ τὰ ἐν τῷ Τρωϊκῷ πεδίῳ γινόμενα. Πρὸς ἄρσιν τῆς ἀπορίας ἐκεῖνοι ἔλεγον, ἢ ὅτι πρέπει νὰ νοήσωμεν, ὅτι ἔβλεπε κατὰ διάνοιαν, ὅπερ ἀπίθανον, ἢ ὅτι ἡ κατασκευὴ τῆς σκηνῆς ἦτο τοιαύτη, ὥστε ἠδύνατο νὰ βλέπῃ, ὡς λέγει ὁ Σχολιαστής· «ἐγχωρεῖ δὲ καὶ οὕτως ἔχειν τὴν σκηνὴν ὥστε δύνασθαι ἀπιδεῖν· ἔθος γὰρ τοῖς βασιλεῦσι τοιαῦτα κατασκευάζειν, ἀφ' ὧν περιόψονται». Οὐχὶ δ' ἀφυῶς ὁ Crusius λέγει, ὅτι ὁ Ἀγαμέμνων ἔκειτο πρὸ τῆς σκηνῆς, ὡς καὶ ἄλλοι ἥρωες, καθ' ἃ γίνεται δῆλον ἐν στίχ. 74 καὶ 150.

[3] Ἐκ τοῦ ἄω, αὔω, φυσῶ, ὡς καὶ τὸ ἰταλικὸν flauta ἐκ τοῦ flare. Τὰ μουσικὰ ταῦτα ὄργανα δὲν ἦσαν πολεμιςήρια, ἀλλὰ κατὰ Φρυγικὸν ἔθος ἐχρησίμευον πρὸς τέρψιν. Ὁ αὐλὸς μνημονεύεται καὶ ἐν Σ 495. Ἀμφότερα δὲν ἦσαν ἐν χρήσει παρὰ τοῖς Ἕλλησιν, οἵτινες μετεχειρίζοντο τὴν φόρμιγγα. Ὁ Duentzer καὶ ὁ Nauck θέλουσι νὰ ἀποκόψωσι τὸν στίχον. Ἀλλ' εἶναι ἀναγκαῖος διὰ τὴν ἀντίθεσιν· ὁ μὲν Ἀγαμέμνων στενάζει, οἱ δὲ πολέμιοι πανηγυρίζουσι καὶ οἱονεὶ παιανίζουσι τὰ νικητήρια. Ὁμοίως οἱ τῶν Ἀχαιῶν πρέσβεις εὑρίσκουσι τὸν Ἀχιλλέα τερπόμενον φόρμιγγι Ι 186. Περὶ τῆς λέξεως ἐνοπὴ ὅρα Γ 2.

αὐτὰρ ὅτ' ἐς νῆάς τε ἴδοι [1] καὶ λαὸν Ἀχαιῶν,
πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο [2] χαίτας
ὑψόθ' ἐόντι Διί, μέγα δ' ἔστενε κυδάλιμον κῆρ [3].
ἤδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
Νέστορ' ἔπι πρῶτον [4] Νηλήϊον ἐλθέμεν ἀνδρῶν,
εἴ [5] τινά οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
ἥτις ἀλεξίκακος [6] πᾶσιν Δαναοῖσι γένοιτο.
ὀρθωθεὶς δ' ἔνδυνε περὶ στήθεσσι χιτῶνα [7],
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἔπειτα δαφοινὸν [8] ἑέσσατο δέρμα λέοντος,
αἴθωνος [9] μεγάλοιο, ποδηνεκές, εἵλετο δ' ἔγχος.

[1] Ἡ εὐκτικὴ δηλοῖ τὸ πολλάκις ἐπαναλαμβανόμενον ἐν τῷ παρελθόντι.

[2] Τοῦτο μαρτυρεῖ τὴν ἀπόγνωσιν τοῦ Ἀτρείδου, μεθ' ἧς εὔχεται τῷ Διὶ πρὸς σωτηρίαν. Παράβαλλ. Χ 77.

[3] Αἰτιατικὴ τοῦ κατά τι, ὡς καὶ ἐν Σ 33 καὶ φ 247.

[4] Τὸ πρῶτον ληπτέον κατηγορηματικῶς, ἡ δὲ σύνταξις ἔχει οὑτωσί· ἐλθέμεν ἐπὶ Νέστορα Νηλήϊον πρῶτον ἀνδρῶν.

[5] Δὲν εἶναι σύνδεσμος ἀντὶ συνδέσμου, δηλ. τὸ εἰ ἀντὶ τοῦ ὅπως, ὡς νομίζει ὁ Σχολιαστής· διότι τὸ μὲν εἰ δηλοῖ τὸ ἀμφίβολον, τὸ δὲ ὅπως τὸ βέβαιον. Τὸ ὑποκείμενον τοῦ τεκτήναιτο εἶναι ὁ Ἀγαμέμνων. Τεκταίνεσθαι σημαίνει ἐπινοεῖν, εὕρηται δὲ μόνον ἐνταῦθα ἐν μεταφορικῇ σημασίᾳ.

[6] Ἀλεξίκακος λέγεται ὁ ἀποδιώκων, ὁ ἀπομακρύνων τὸ κακόν.

[7] Τὴν λέξιν ἑρμηνεύομεν ἐν Β 43.

[8] Ἐνεδύθη κόκκινον δέρμα λέοντος. Τινὲς τῶν ἀρχαίων εἴκαζον, ὅτι ὁ καιρὸς ἦτο χειμέριος· διότι πρὸς σκέπην τῶν ὄμβρων μετεχειρίζοντο τὴν λεοντῆν. Ὁ Σχολιαστὴς παρατηρεῖ· «τὸν δὲ Μενέλαον ὡς ἥττω παρδαλῆν ἐνδύει (29), Δόλωνα δὲ ὡς δειλὸν καὶ ἐπὶ λαθρίδιον πρᾶξιν ὁρμῶντα λυκέαν».

[9] Τὸ αἴθων συνήθως ἑρμηνεύεται, θερμός, ὀξύς, ὁρμητικός. Τινὲς ὅμως ἐξηγοῦσι καὶ πυρρόν, κόκκινον, ὅπερ δὲν εἶναι πιθανόν. Κατὰ τὸν Εὐστάθιον· «Παδηνεκὲς δὲ ἔστι μὲν τὸ τερμιόεν καὶ μέχρι ποδῶν ἐνεχθέν». Εἶναι δὲ σύνθετον ἐκ τοῦ ποὺς καὶ ἐνεκ, ἐξ ἧς καὶ τὸ ἠνέχθην.

Ὣς δ᾽ αὔτως Μενέλαον ἔχε τρόμος (οὐδὲ γὰρ αὐτῷ [1] 25
ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε) μή [2] τι πάθοιεν
Ἀργεῖοι, τοὶ δὴ ἕθεν εἵνεκα πουλὺν [3] ἐφ᾽ ὑγρὴν
ἦλυθον ἐς Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες.
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
ποικίλῃ [4], αὐτὰρ ἐπὶ στεφάνην καφαλῆφιν ἀείρας 30
θήκατο χαλκείην, δόρυ δ᾽ εἵλετο χειρὶ παχείῃ.
βῆ δ᾽ ἴμεν ἀνστήσων ὃν ἀδελφεόν, ὃς μέγα πάντων
Ἀργείων ἤνασσε, θεὸς δ᾽ ὡς τίετο δήμῳ.
τὸν δ᾽ εὗρ᾽ ἀμφ᾽ ὤμοισι τιθήμενον [5] ἔντεα καλὰ
νηΐ πάρα πρυμνῇ [6]. τῷ δ᾽ ἀσπάσιος γένετ᾽ ἐλθών [7]. 35
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
«Τίφθ᾽ οὕτως, ἠθεῖε [8], κορύσσεαι; ἦ τιν᾽ ἑταίρων
ὀτρυνέεις Τρώεσσιν ἔπι σκοπόν [9]; ἀλλὰ μάλ᾽ αἰνῶς

[1] Ὁ μὲν Τυραννίων ἔγραφεν αὐτῷ, ὁ δὲ Ἀσκαλωνίτης αὖ τῷ, ὅπερ δέχεται ο Döderlein.

[2] Ἂν θεωρήσωμεν τὴν προηγουμένην πρότασιν παρενθετικήν, ὡς ποιεῖ ὁ Classen καὶ ὁ La Roche, τὸ μήτι πάθοιεν ἐξαρτᾶται ἐκ τοῦ ἔχε τρόμος. Οἱ μὴ δεχόμενοι τοῦτο ἐννοοῦσι τὴν δοτικὴν δειδιότι.

[3] Ὅρα, ὅτι τὸ ἀρσενικὸν μετεχειρίσθη ἀντὶ τοῦ θηλυκοῦ. Τὸ δὲ ὑγρὴν εἶναι ἐπίθετον ἀντὶ οὐσιαστικοῦ, ὡς καὶ τὸ ξηρὰ ἐπὶ τῆς γῆς.

[4] Ἡ δορὰ τῆς παρδάλεως εἶναι κατάστικτος· τούτου ἕνεκεν καὶ ἡμεῖς λέγομεν τὸ ποικίλον παρδαλόν. Ἡ ἐπὶ ἀνήκει εἰς τὸ θήκατο καὶ οὐχὶ εἰς τὸ ἀείρας.

[5] Δηλαδὴ τιθέμενον, ὡς τιθήμεναι ἐν Ψ 83 καὶ 247.

[6] Καὶ τοῦτο μαρτυρεῖ, ὅτι ὁ Ἀγαμέμνων ἐκοιμᾶτο ἐκτὸς τῆς σκηνῆς, ὡς καὶ ὁ Νέστωρ ἐν στίχ. 75.

[7] Συνηθέστερον ἁπαντᾷ, ἀσπάσιος ἦλθεν· εἰς τοῦτον ἦλθεν εὐπρόσδεκτος.

[8] Ὁ Σχολιαστὴς παρατηρεῖ· «τὸ ἠθεῖε προσφώνησίς ἐστι σεπτικὴ νεωτέρου πρὸς πρεσβύτερον λεγομένη».

[9] Τὰ χειρόγραφα ἔχουσιν ἐνταῦθα καὶ ἐν στίχ. 342 Τρώεσσιν ἐπίσκοπον, ὁ δὲ Ἀρίσταρχος ἐξήγει κατάσκοπον. Ἀλλ᾽ θήκατο καὶ οὐχὶ εἰς τὸ ἀείρας.

δείδω μὴ σὺ τίς τοι ὑπόσχηται τόδε ἔργον,
ἄνδρας δυσμενέας σκοπιαζέμεν [1] εἶος ἐπελθών
νύκτα δι' ἀμβροσίην· μάλα τις θρασυκάρδιος [2] ἔσται».

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
«Χρεὼ [3] βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε,
κερδαλέης [4], ἥτις κεν ἐρύσσεται ἠδὲ σαώσει
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο [5] φρήν.
Ἕκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆκ' ἱεροῖσιν [6].
οὐ γάρ [7] πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος,
ἄνδρ' ἕνα τοσσάδε μέρμερ' [8] ἐπ' ἤματι μητίσασθαι,
ὅσσ' Ἕκτωρ ἔρρεξε διίφιλος υἷας Ἀχαιῶν,
αὖτως [9], οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.

ὁ Νικίας ἀνέστρεφε τὴν πρόθεσιν γράφων Τρώεσσιν ἔπι σκοπόν, ὅπερ νῦν δέχονται ἐπιφανεῖς κριτικοὶ καὶ ἐκδόται, ὡς ὁ Franke, ὁ Düntzer, ὁ Koch καὶ ἄλλοι· διότι ἐπίσκοπος σημαίνει μόνον τὸν ἐπιστάτην.

[1] Τὸ ῥῆμα τοῦτο μόνον ἐνταῦθα συντάσσεται πρὸς αἰτιατικήν· τινὲς ὅμως ταύτην συντάσσουσι μετὰ τοῦ ἐπελθών. Φοβοῦμαι μήπως κανεὶς δὲν θὰ ὑποσχεθῇ ταύτην τὴν πρᾶξιν, δηλ. νὰ κατασκοπεύσῃ πολεμίους μόνος ἐπελθών.

[2] Ὁ ἔχων θρασεῖαν καρδίαν, ἀτρόμητος. Ἀντὶ τοῦ ἔσται ἄλλοι ἔγραφον εἴη, ὅπερ δικαίως δὲν ἐπιδοκιμάζεται.

[3] Πρὸς τὸ ἐρώτημα τοῦ ἀδελφοῦ ὁ Ἀγαμέμνων δὲν δίδει ὡρισμένην ἀπόκρισιν.

[4] Κατὰ τὸν Σχολιαστὴν ἐπωφελοῦς, ὠφελίμου.

[5] Πρὸ τῆς παρακλήσεως τῆς Θέτιδος ὁ Ζεὺς ἦτο εὐμενὴς τοῖς Ἀχαιοῖς.

[6] Προσέσχε τὸν νοῦν τοῖς ἱεροῖς, δηλ. ὁ Ζεὺς εἶναι εὐνούστερος τῷ Ἕκτορι ἢ ἡμῖν.

[7] Αἰτιολογεῖ τὴν ἡγουμένην εἰκασίαν· διότι ἄνευ τῆς βοηθείας τοῦ Διός, ἣν δύναταί τις νὰ κερδήσῃ διὰ θυσιῶν, δὲν ἠδύνατο νὰ κατορθώσῃ τοιαῦτα.

[8] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Μερίμνης καὶ φροντίδος ἄξια». Συνηθέστερον ἀπαντᾷ μέρμερα ἔργα, ὡς Θ 453. Τὸ ἐπ' ἤματι σημαίνει ἐν μιᾷ ἡμέρᾳ. Ὁ Ἀρίσταρχος ὅμως εὑρίσκων δυσκολίαν ἔγραφεν, ἐν ἤματι.

[9] Αὐτὸς ἀφ' ἑαυτοῦ, ἐξηγεῖται δ' ἀκριβέστερον διὰ τῆς ἑπομένης φράσεως, δηλ. ὡς κοινός, ὡς συνήθης ἄνθρωπος. Ὁ Ἕκτωρ λέγεται υἱὸς τοῦ Διὸς ἐν Ν 54, ἀλλὰ

[ἔργα [1] δ' ἔρεξ', ὅσα φημὶ μελησέμεν Ἀργείοισιν
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ' [2] Ἀχαιούς.]
ἀλλ' ἴθι νῦν, Αἴαντα [3] καὶ Ἰδομενῆα κάλεσσον,
ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ' ἐπὶ Νέστορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ' ἐθέλῃσιν
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος [4] ἠδ' ἐπιτεῖλαι.
κείνῳ γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱός [5]
σημαίνει φυλάκεσσι, καὶ Ἰδομενῆος ὀπάων
Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν [6] γε μάλιστα».
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
«Πῶς γάρ [7] μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις;
αὖθι [8] μένω μετὰ τοῖσι, δεδεγμένος εἰς ὅ κεν ἔλθῃς,

τοῦτο δὲν πρέπει νὰ ληφθῇ κυριολεκτικῶς.

[1] Κατὰ τὸν Σχολιαστήν· «Ἀθετοῦνται στίχοι δύο, ὅτι παλιλλογεῖ ταῦτα (δι' ἄλλων γὰρ προείρηται» ὅσσ' Ἕκτωρ ἔρρεξε Διὶ φίλος») καὶ ὅτι ἐπὶ ταὐτὸν φέρει δηθὰ καὶ δολιχόν· καὶ Ἀριστοφάνης προηθέτει». Ὅμως νομίζω, ὅτι μακρὸν χρόνον θὰ λυπηθῶσιν οἱ Ἀργεῖοι, δι' ὅσα ἔπραξεν.

[2] Τὸ μήδομαι συνετάχθη πρὸς διπλῆν αἰτιατικήν, ὡς καὶ ἐν Χ 395.

[3] Ὁ Ἀρίσταρχος ἔγραφεν Αἴαντε, ᾧ ἠκολούθει καὶ ὁ Δίδυμος, ἀλλ' ἡ γραφὴ αὕτη δὲν ἐπιδοκιμάζεται ὑπὸ τῶν νεωτέρων. Αἱ νῆες τοῦ Αἴαντος ἔκειντο παρὰ ταῖς τοῦ Ἰδομενέως ἐν τῇ ἄκρᾳ τῆς ἀριστερᾶς πτέρυγος, στίχ. 112 καὶ Ν 675.

[4] Τέλος ἐνταῦθα σημαίνει τάγμα, στρατιωτικὸν σύνταγμα, ὡς καὶ ἐν Η 380. Λέγεται δὲ ἱερὸν διὰ τὴν ἰσχύν, ἰσχυρόν, ὡς ἀλλαχοῦ εἶπεν ὁ ποιητὴς Ἀργείων ἱερὸς στρατὸς ἐν ω 81.

[5] Διότι τούτου ὁ υἱὸς Θρασυμήδης διατάσσει τοὺς φύλακας. Ὅρα Ι 81.

[6] Ἐκ τοῦ ῥήματος σημαίνει ἐξάγεται τὸ ἀπαρέμφατον σημαίνειν· διότι εἰς τούτους ἐπετρέψαμεν τοὐλάχιστον νὰ δίδωσιν ὁδηγίας κατ' ἐξοχήν.

[7] Ἀντὶ τοῦ πῶς γὰρ ὁ Cobet καὶ ὁ Duentzer γράφουσι, πῶς τ' ἄρ. Τὸ γὰρ ἐνισχύει τὴν ἐρώτησιν ὡς καὶ ἐν Α 123.

[8] Ὁ Σχολιαστὴς ἑρμηνεύει, ἐν τοῖς φύλαξιν, ὡς γίνεται δῆλον ἐκ τοῦ στίχ. 126· «κείνους δὲ κιχησόμεθα πρὸ πυλάων ἐν φυ-

ἠὲ θέῳ μετὰ σ᾽ αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω ;»
Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Αὖθι μένειν, μή πως ἀβροτάξομεν [1] ἀλλήλοιιν
ἐρχομένω [2]· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
φθέγγεο [3] δ᾽ ἣ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι [4] ἄνωχθι,
πατρόθεν [5] ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο [6] θυμῷ,

λάκεσσ᾽, ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι».

[1] Ἐκ τοῦ β΄ ἀορίστου ἤμβροτον σχηματίζεται ὁ ἐνεστὼς ἀβροτάζω. Μένε ἐν τῷ αὐτῷ τόπῳ, μήπως ἀποτύχωμεν ἀλλήλων, μήπως χάσῃ ὁ ἕνας τὸν ἄλλον. Τοῦτο οἱ ἀρχαῖοι ἔλεγον διαμφοδεῖν.

[2] Δηλαδὴ μετ᾽ ἀλλήλους. Οἱ ἀρχαῖοι παρετήρουν ἐνταῦθα· «Δῆλός ἐστιν ἐκ τούτων ἔμπειρος ὢν ἀρχιτεκτονικῆς. Εἰς γὰρ πολλὰς ὁδοὺς τέτμηται τὸ ναύσταθμον, ἵνα ταχέως ἀπὸ τῶν σκηνῶν ἀπαντῶσι πρὸς τὰς βοηθείας».

[3] Φώναζε, ὁπουδήποτε καὶ ἂν ἔρχησαι καὶ διάταττε νὰ ἐγρηγορῶσιν. Ἀλλὰ τίνες νὰ ἐγρηγορῶσιν ; Οἱ κοιμώμενοι ἐντὸς τοῦ τείχους ἢ μόνον οἱ ἐκτὸς αὐτοῦ φύλακες ; Ὁ Koch δέχεται τὸ δεύτερον, διότι παρατηρεῖ, ὅτι ἤθελεν εἶναι παράδοξον κέλευσμα, ἂν ὁ Ἀγαμέμνων ἐκέλευε τοὺς στρατιώτας νὰ ἦναι ἔξυπνοι τὴν νύκτα, ἐν ᾧ τὴν ἡμέραν θερμῶς ἐμάχοντο καὶ ἔμελλε νὰ ἀκολουθήσῃ ἡμέρα ἐργώδης. Ὁ La Roche ὅμως ἐννοεῖ τοὺς ἐν τῷ τείχει Ἀχαιούς, διότι οἱ φύλακες ἔκειντο ἐκτός, ὅπερ θεωροῦμεν πιθανώτερον· δὲν εἶναι δὲ παράδοξον τὸ κέλευσμα, ἀφ᾽οὗ καὶ αὐτὸς ὁ Ἀγαμέμνων ἀγρυπνεῖ. Καὶ αὐτὸς δὲ ὁ κελεύων ἔχει συνείδησιν τῆς αὐστηρότητος τοῦ κελεύσματος καὶ διὰ τοῦτο προτρέπει τὸν ἀδελφὸν νὰ τιμᾷ τοὺς Ἀχαιοὺς καὶ ὁ ἴδιος νὰ πονῇ. Οὕτω διὰ τῆς ἑρμηνείας ταύτης αἴρομεν, ὡς νομίζομεν, καὶ τὴν δυσκολίαν, ὅτι ὁ Μενέλαος ἐν τῇδε τῇ ῥαψῳδίᾳ εἰκονίζεται ὡς στερούμενος εὐπροσηγορίας. Ὅρα καὶ Ἱστορ. τῶν Ὁμηρ. ἐπῶν σελ. 277.

[4] Συγκεκομμένος παρακείμενος τοῦ ἐγείρω, ὡς τὸ πέποσθε τοῦ πάσχω.

[5] Ἡ διὰ τοῦ πατρωνυμικοῦ ὀνόματος προσφώνησις ἐθεωρεῖτο ἔντιμος καὶ κολακευτικὴ οὐ μόνον ἐν τῷ ὁμηρικῷ αἰῶνι, ἀλλὰ καὶ βραδύτερον. Τοῦτο ποιεῖ καὶ ὁ Νικίας ἐν κινδύνῳ εὑρισκόμενος, Θουκυδ. VII, 69 «αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλήν».

[6] Μηδὲ ἐπαίρου εἰς τὴν ψυχήν σου, μηδὲ μεγαλοφρόνει.

ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὣδέ που ἄμμιν
Ζεὺς ἐπὶ γεινομένοισιν [1] ἴει κακότητα βαρεῖαν».
Ὣς εἰπὼν ἀπέπεμπεν ἀδελφεόν, εὖ ἐπιτείλας.
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Νέστορα, ποιμένα λαῶν·
τὸν δ' εὗρεν παρά [2] τε κλισίῃ καὶ νηῒ μελαίνῃ
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ' ἔντεα ποικίλ' ἔκειτο,
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια. [3]
πὰρ δὲ ζωστὴρ [4] κεῖτο παναίολος, ᾧ ῥ' ὁ γεραιὸς
ζώννυθ', ὅτ' ἐς πόλεμον φθισήνορα [5] θωρήσσοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε [6] γήραϊ λυγρῷ.
ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος [7], κεφαλὴν ἐπαείρας,
Ἀτρεΐδην προσέειπε καὶ ἐξερεείνετο μύθῳ·
«Τίς δ' οὗτος [8] κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἷος
νύκτα δι' ὀρφναίην, ὅτε [9] θ' εὕδουσι βροτοὶ ἄλλοι;

[1] Ὅτε ἐγεννώμεθα, κατὰ τὴν γέννησιν, καθ' ἣν ἡ τύχη ἑκάστου ὡρίζετο Γ 128 «ἅσσα οἱ αἶσα γινομένῳ ἐπέννησε λίνῳ, ὅτε μιν τέκε μήτηρ». Παράβαλλ. καὶ Ω 210. Τὴν πρόληψιν ταύτην ἔχουσι μέχρι τοῦδε οἱ κοινότεροι τῶν ἀνθρώπων.

[2] Ὁ Νέστωρ δὲν κοιμᾶται ἐν τῇ σκηνῇ, ἀλλὰ παρὰ τῇ σκηνῇ, ὡς καὶ ὁ Διομήδης ἐν στίχ. 151.

[3] Ἡ περικεφαλαία, περὶ ἧς ὅρα ἐν Γ 372.

[4] Ἰδὲ Δ 132.

[5] Ὅτε ὡπλίζετο διὰ τὸν λαοφθόρον πόλεμον.

[6] Ἐννοεῖται ἡ αἰτιατικὴ ἑαυτόν. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «οὐκ ἐδίδου ἑαυτὸν τῷ γήρᾳ, οὐδὲ ὑπετάσσετο αὐτῷ».

[7] Τὸ χωρίον ἔχει μεγάλην γραφικὴν ἀξίαν, ἣν ὁ Εὐστάθιος ἀναπτύσσει· «Εἴποις γὰρ ἂν ὁρᾶν ἄνδρα καμάτῳ τὰ γυῖα λελυμένον καὶ κεῖσθαι θέλοντα καὶ ὀκνοῦντα μὲν τὴν ἐξ ὕπνου ἀνάστασιν, διὰ δὲ ἀνάγκην αἱρόμενον, καὶ τῷ μὲν λοιπῷ τοῦ σώματος κείμενον, τῷ δὲ ἀγκῶνι ὀρθούμενον καὶ τὴν κεφαλὴν αἴροντα, τυχὸν δὲ καὶ αὐτὴν ὑπανέχοντα καὶ ἐπαναπαύοντα τῇ χειρί».

[8] Σύμπτυξις δύω προτάσεων ἀντί· τίς εἶ οὗτος, ὃς ἔρχεαι;

[9] Δὲν εἶναι ἱκανόν, ὅτι ἡ νὺξ εἶναι σκοτεινή, ἀλλὰ καὶ αὕτη εἶχε προχωρήσει, ὅτε πᾶσιν ὕπνου καιρός.

ἠέ τιν' οὐρήων [1] διζήμενος, ἤ τιν' ἑταίρων ; 84
φθέγγεο [2], μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ ;»
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Ὦ Νέστορ Νηληϊάδη [3], μέγα κῦδος Ἀχαιῶν,
γνώσεαι [4] Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ' [5] ἀϋτμὴ
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ. 90
πλάζομαι ὧδ', [6] ἐπεὶ οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος
ἴζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε' Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδείδια [7], οὐδέ μοι ἦτορ
ἔμπεδον [8], ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω

[1] Οἱ ἀρχαῖοι ἠθέτουν τὸν στίχον δι' αἰτίαν οὐχὶ σπουδαίαν· «ὅτι οὐρήων βούλεται λέγειν τῶν φυλάκων»· ἐν πᾶσι ὅμως τοῖς χειρογράφοις οὗτος φέρεται. Οὐρεὺς ἐνταῦθα ἔχει τὴν σημασίαν, ἣν καὶ τὸ οὖρος=φύλαξ. Τινὲς ἐξηγοῦσι καὶ ἐνταῦθα ἡμιόνων θεωροῦντες τοῦτο ὡς χαριεντισμόν. Ἀλλ' ὁ χαριεντισμὸς ἐνταῦθα ἥκιστα ἁρμόζει καὶ ὁ ποιητὴς ἔπρεπε τότε νὰ εἴπῃ οὐχὶ ἑταίρων, ἀλλ' ἀνδρῶν, ὡς ἐν Ψ 111 «οὐρῆας τ' ὤτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην».

[2] Ἐπειδὴ ἐν τῷ ἡρωϊκῷ αἰῶνι δὲν ὑπῆρχον συνθήματα, ὁ Νέστωρ θέλει νὰ γνωρίσῃ τὸν ἐρχόμενον ἐκ τῆς φωνῆς.

[3] Ὅ τι προσέταξε τῷ Μενελάῳ, αὐτὸς ὁ Ἀγαμέμνων ποιεῖ ἐκ γενετῆς καλῶν τὸν Νέστορα καὶ κυδαίνων αὐτόν.

[4] Δὲν ἔθηκε προστακτικήν, ἀλλὰ μέλλοντα τῆς ὁριστικῆς, ὅπως δηλώσῃ τὸ περὶ οὗ ὁ λόγος βεβαιότερον. Θὰ γνωρίσῃς, ὅτι εἶναι ὁ Ἀστρεΐδης Ἀγαμέμνων, εὐθὺς ὅταν ἀνοίζω τὸ στόμα μου.

[5] Ἐπεξηγεῖ τὸ διαμπερές· ἐν ἄλλαις λέξεσι καθ' ὅλον μου τὸν βίον.

[6] Πλαζόμενος ἔρχομαι οὕτως, ὡς βλέπεις, Ρ 75.

[7] Ἕνεκα τῶν Δαναῶν, διὰ τοὺς Δαναούς. Τὸ ῥῆμα ἐδέξατο γενικὴν ἀντὶ δοτικῆς, ὡς καὶ ἐν Ρ 240. Ὁ Σχολιαστὴς παρατηρεῖ· «ὥστε καὶ ἔπαινος τοῦ φόβου ἡ τῶν κοινῶν πρόνοια».

[8] Ἐν ἀντιθέσει πρὸς τό, ἔξω στηθέων ἐκθρώσκει. Τὸ δὲ ἀλαλύκτημαι εἶναι παρακείμενος ἔχων σημασίαν ἐνεστῶτος. Ὁ ἐνεστὼς ὑποτίθεται ἀλυκτέω, ὅστις εἶναι ἐπιτεταμένος τύπος τοῦ ἀλύω, περὶ οὗ ὅρα ἐν Ε 352. Σημαίνει δὲ στενοχωροῦμαι.

στηθέων ἐκθρώσκει [1], τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.
ἀλλ' εἴ τι δραίνεις [2], ἐπεὶ οὐδὲ σέ γ' ὕπνος ἱκάνει,
δεῦρ' [3] ἐς τοὺς φύλακας καταβείομεν, ὄφρα ἴδωμεν,
μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες [4] ἠδὲ καὶ ὕπνῳ
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται.
δυσμενέες δ' ἄνδρες σχεδὸν εἵαται [5]· οὐδέ τι ἴδμεν,
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι».

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
«Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην [6] Ἕκτορι πάντα νοήματα μητίετα Ζεύς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν [7] καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεύς

[1] Πηδᾷ ἡ καρδιά μου ἔξω ἀπὸ τὰ στήθη μου, ὡς λέγομεν οἱ νεώτεροι. Τοῦτο δηλοῖ ὑπερβολὴν ἐναγωνίου πατάγου ἢ καρδιωγμοῦ, ὡς καὶ Χ 452· «ἐν δέ μοι αὐτῇ στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα». Ἡ ὑπὸ ληπτέα ἐπιρρηματικῶς.

[2] Ἐφετικὸν τοῦ δράω· ἐπιθυμεῖς νὰ πράξῃς τι, διότι ὡς ἐμέ, οὕτω καὶ σὲ δὲν καταλαμβάνει ὕπνος.

[3] Ἔλα ἂς καταβῶμεν εἰς τοὺς φύλακας. Τὸ δεῦρο συντάσσεται πρὸς αὐθυπότακτον, ὡς ἐν Ρ 120, Ψ 485 καὶ ἀλλαχοῦ.

[4] Τῆς ἐπικῆς ταύτης μετοχῆς ὁ ἐνεστὼς ὑποτίθεται ἀδέω. Τινὲς ἔγραφον ἀδδηκότες, ἀλλ' ὁ Spitzner καὶ ὁ Buttmann συνιστῶσι νὰ γράφηται μόνον δι' ἑνὸς δ· διότι τὸ α εἶναι καθ' ἑαυτὸ μακρόν. Τοῦτο ἐπεκράτησε παρὰ τοῖς νεωτέροις ἐκδόταις. Οἱ ἀρχαῖοι ἑρμηνεύουσιν, ἀηδισθέντες, κορεσθέντες, ὁ Buttmann ὅμως ἀποκρούει τὴν σημασίαν τοῦ κόρου, διότι δέχεται τὴν τῆς κακουχίας καὶ ταλαιπωρίας. Ὕπνος δὲ ἐνταῦθα εἶναι ἡ ἐπιθυμία τοῦ ὕπνου, ἡ ἀγρυπνία, ὡς ἐν ζ 2. «ὕπνος καὶ καμάτῳ ἀρημένος».

[5] Οἱ δὲ πολέμιοι εἶναι ἐστρατοπεδευμένοι πλησίον.

[6] = Δήπου· βεβαίως εἰς τὸν Ἕκτορα ὅλας τὰς ἀποφάσεις ὁ συνετὸς Ζεὺς δὲν θὰ ἐκτελέσῃ. Ὁ πολύπειρος γέρων ἰδὼν τὸν Ἀγαμέμνονα τεταπεινωμένον θαρσύνει τοῦτον.

[7] Θὰ βασανισθῇ ὑπὸ φροντίδων. Λείπει ὁ δεύτερος ὅρος τῆς συγκρίσεως, ἀλλὰ δύναται νὰ νοηθῇ, ἢ ἐν τῷ χρόνῳ, καθ' ὃν δὲν ὠργίζετο ὁ Ἀχιλλεύς.

ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ [1] φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἔψομ' ἐγώ· ποτὶ [2] δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδείδην [3] δουρικλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν [4] καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ [5] τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἐκαστάτω [6], οὐδὲ μάλ' ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον [7] Μενέλαον
νεικέσω [8], εἴπέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὖδει [9], σοὶ δ' οἵῳ ἐπέτρεψεν πονέεθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι [10]
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός [11]».

[1] Δηλαδὴ ἐς φιλότητα. Κατὰ τὸν Koch ἡ παραμυθία εἶναι κακή, διότι πρὸ ὀλίγων ὡρῶν ἡ πρεσβεία ἐπανῆλθε μετὰ τῆς εἰδήσεως, ὅτι ὁ Πηλείδης δὲν κάμπτεται, ἀλλ' ὅτι μέλλει τὴν ἑπομένην ἡμέραν νὰ ἀποπλεύσῃ εἰς Φθίαν.

[2] Πρὸς τούτοις, ἐκτὸς τούτου.

[3] Ἐνταῦθα ὀνομάζει ἥρωας, ὧν αἱ σκηναὶ δὲν ἔκειντο μακράν.

[4] Διὰ τοῦ ἐπιθέτου τούτου ὁ ποιητὴς χαρακτηρίζει Αἴαντα τὸν Λοκρόν, Β 525. Υἱὸς τοῦ Φυλέως εἶναι ὁ Μέγης, περὶ οὗ ὅρα ἐν Β 626.

[5] Τὸ εἰ ἐνταῦθα κεῖται ἐπὶ εὐχῆς, ἀνθ' οὗ συνηθέστερον τίθεται τὸ εἰ γὰρ καὶ εἴθε.

[6] Ἐννοεῖ τὸ ἄκρον τῆς ἀριστερᾶς πτέρυγος. Τὸ μάλ' ἐγγὺς κεῖται ἐκ παραλλήλου εἰς τὸ ἐκαστάτω, ὡς ἐν Α 416 «μίνυνθά περ, οὔτι μάλα δήν».

[7] Αἰδοῦς ἄξιον, σεβασμοῦ ἄξιον

[8] Ἀλλὰ ἂν καὶ ὁ Μενέλαος εἶναι προσφιλὴς καὶ ἄξιος σεβασμοῦ, ὅμως θὰ τὸν ψέξω, θὰ τὸν μαλώσω, καὶ ἂν πειραχθῇς ἐναντίον μου.

[9] Δηλοῖ τὸ αἴτιον τοῦ νεικέσω.

[10] Τώρα ἔπρεπε νὰ κοπιάσῃ εἰς ὅλους τοὺς ἀρίστους καὶ νὰ τοὺς παρακαλῇ.

[11] Ὅρα, ὅτι ὁ ποιητὴς μετεχειρίσθη ἀρσενικὸν ἐπίθετον ἀντὶ θηλυκοῦ. Σημειωτέον, ὅτι ὁ Düntzer τὸ ἐπίθετον ἔτρεψεν εἰς ἐπίρρημα, ἀνεκτῶς· διότι λέγει, ὅτι ἐνταῦθα δὲν ὑπάρχει μετρικὴ ἀνάγκη, ὡς ἐν τῷ ὁλοώτατος ὀδμὴ ἐν δ 406.

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Ὦ γέρον, ἄλλοτε μέν [1] σε καὶ αἰτιάασθαι ἄνωγα·
πολλάκι γὰρ μεθιεῖ [2] τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο,
ἀλλ' ἐμέ τ' εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν [3].
νῦν δ' ἐμέο πρότερος μάλ' [4] ἐπέγρετο καί μοι ἐπέστη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς [5] σὺ μεταλλᾷς.
ἀλλ' ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
ἐν φυλάκεσσ'· ἵνα [6] γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι».
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
«Οὕτως [7] οὔ τις οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνῃ καὶ ἀνώγῃ».
Ὡς εἰπὼν ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,

[1] Ἡ ἀντίθεσις ὑπάρχει ἐν τῷ νῦν δ' ἐμέο πρότερος. Τὸ ἀντικείμενον τοῦ αἰτιάασθαι λείπει, δηλ. αὐτόν.

[2] Ἐκ τοῦ ῥήματος τούτου παράγεται ὁ μεθήμων = ἀμελής· διότι πολλάκις ἀμελεῖ καὶ δὲν ἀποφασίζει νὰ κοπιάζῃ.

[3] Τοῦτο ἐπεξηγεῖ τὸ ἐμὲ εἰσορόων. Περιμένων ἀπὸ ἐμὲ τὸ ἐξεκίνημα, τὴν πρωτοβουλίαν. Ὁ Ἀγαμέμνων δικαιολογεῖ τὸν ἀδελφὸν διὰ τούτου, ὅτι δὲν ἔχει τὸ θάρρος νὰ ἀναλάβῃ τὴν εὐθύνην πάσης ἐπιχειρήσεως, ἀλλὰ περιμένει τὸ κέλευσμα τοῦ στρατηγοῦ.

[4] Τὸ μάλα προσδιορίζει τὸ πρότερος· τώρα ὅμως πρότερον ἀπὸ ἐμὲ ἐξύπνησεν.

[5] Δηλαδὴ τὸν Αἴαντα καὶ τὸν Ἰδομενέα.

[6] Οὕτως ἔχουσι τὰ χειρόγραφα· ἀλλ' ἐπειδὴ τὸ ἵνα μόνον ἐνταῦθα ἔχει δεικτικὴν σημασίαν, ὁ Bekker διώρθωσεν εἰς, ἐν φυλάκεσσ', ἵνα τ' ἄρ σφιν ἐπέφραδον, ὅπερ ὁ Düntzer εἰσήγαγεν εἰς τὸ κείμενον. Καὶ ὁ Herrmann ἤθελε νὰ διορθώσῃ εἰς, ἵνα πέρ σφιν. Ἀλλὰ δύναται νὰ ἐξηγηθῇ καὶ ὡς ἀναφορικόν, ὡς ποιεῖ ὁ La Roche, ὅστις ἀφαιρῶν τὴν ἄνω στιγμὴν καὶ κόμμα τιθεὶς ἑρμηνεύει, ὅπου δηλαδή. Ἡ κοινὴ γραφὴ εἶναι ἠγερέεσθαι, ἀλλ' ὁ Ἀρίσταρχος ἔγραφεν ἠγερέθεσθαι, ὅπερ προτιμᾶται.

[7] Ὑπὸ τοιαύτας περιστάσεις,

ἀμφὶ δ' ἄρα χλαῖναν[1] περονήσατο φοινικόεσσαν,
διπλῆν, ἐκταδίην[2], οὔλη δ' ἐπενήνοθε λάχνη.
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον[3] ὀξέϊ χαλκῷ,
βῆ δ' ἰέναι κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
πρῶτον ἔπειτ' Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον,
ἐξ ὕπνου ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ
φθεγξάμενος[4]· τὸν δ' αἶψα περὶ φρένας ἦλυθ' ἰωή[5],
ἐκ δ' ἦλθε κλισίης καί σφεας πρὸς μῦθον ἔειπεν·
«Τίφθ' οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἷοι ἀλᾶσθε
νύκτα δι' ἀμβροσίην[6]; ὅ τι δὴ χρειὼ τόσον ἵκει;»
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν[7] Ἀχαιούς.
ἀλλ' ἔπευ[8], ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικεν

ἐὰν αὐτουργῇ ὁ Μενέλαος.

[1] Ἡ χλαῖνα εἶναι ἐπανωφόριον, ὅπερ δύναται νὰ παραβληθῇ πρός τὴν κάπαν· διότι καὶ ἡ χλαῖνα λέγεται ἀνεμοσκεπὴς καὶ ἀλεξήνεμος Π 224 καὶ ξ 529. Αὕτη ἦτο ἁπλῆ ἢ διπλῆ καὶ εἶχε ποικίλματα, ὡς γίνεται δῆλον ἐν Γ 126, ὅπου ἰδέ. Συνήπτετο δὲ διὰ περόνης.

[2] Ἐκτεταμένην, ἐκτενῆ. Ἡ ἑπομένη φράσις ἑρμηνεύεται ἐν Β 219.

[3] Κατὰ τὸν Döderlein εἶναι παρακείμενος τοῦ ἄκειν ἀντὶ ἀκαχημένος· ἔλαβε ὀόρυ ἠκονημένον, ἐστομωμένον μὲ ὀξὺν χαλκόν.

[4] Διὰ τῆς φωνῆς.

[5] Ἰωὴ σημαίνει ἰσχυρὰν φωνήν· ἤσθετο τῆς φωνῆς.

[6] Μετὰ τὴν λέξιν ἀμβροσίην ὁ Dindorf καὶ ὁ La Roche θέτουσι κόμμα, ἀλλ' οἱ πλεῖστοι προτιμῶσι τὸ ἐρωτηματικὸν σημεῖον, ὡς ὁ Duentzer, ὁ Franke, ὁ Döderlein καὶ ἄλλοι. Ἐγείρεται ὅμως ἡ δυσκολία, πῶς πρέπει νὰ λάβωμεν τὸ ἑπόμενον ὅτι, ὡς ἀναφορικὸν ἢ ὡς ἐρωτηματικόν. Ὁ Σχολιαστὴς ὅμως παρατηρεῖ· «Ἡ δὲ τῶν ἀναφορικῶν καὶ ἀορίστων ἐναλλαγὴ πρὸς τὰ πευστικὰ συνήθης, ὡς κἀκεῖ «ὁππποίης δ' ἐπὶ νηὸς» (Ὀδυσσ. α 171 «ἀντὶ τοῦ ποίας». Κατὰ τί δὰ τόση ἀνάγκη ἦλθεν;

[7] Τὸ βιάω εἶναι διάφορος τύπος τοῦ βιάζω· διότι τοιοῦτος πόνος ἠνάγκασε τοὺς Ἀχαιούς.

[8] Τινὲς γράφουσι μετὰ τοῦ Ἀριστάρχου ἔπε'.

βουλὰς βουλεύειν, ἢ φευγέμεν[1] ἠὲ μάχεσθαι.»
Ὣς φάθ', ὁ δὲ κλισίηνδε κιὼν πολύμητις Ὀδυσσεύς
ποικίλον ἀμφ' ὤμοισι σάκος θέτο, βῆ δὲ μετ' αὐτούς.
βὰν δ' ἐπὶ Τυδείδην Διομήδεα· τὸν δ' ἐκίχανον
ἐκτὸς ἀπὸ[2] κλισίης σὺν τεύχεσιν· ἀμφὶ δ' ἑταῖροι
εὗδον, ὑπὸ κρασὶν δ' ἔχον ἀσπίδας· ἔγχεα δέ σφιν
ὄρθ' ἐπὶ σαυρωτῆρος[3] ἐλήλατο, τῆλε δὲ χαλκὸς
λάμφ'[4] ὥς τε στεροπὴ πατρὸς Διός. αὐτὰρ ὅγ' ἥρως
εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο[5],
αὐτὰρ ὑπὸ κράτεσφι τάπης[6] τετάνυστο φαεινός.
τὸν παρστὰς ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ,
λὰξ[7] ποδὶ κινήσας, ὤτρυνέ τε νείκεσέ τ' ἄντην[8].

[1] Ἐκ τοῦ βουλεύειν ἐξαρτῶνται τὰ δύω ταῦτα ἀπαρέμφατα, ὡς ὁ Σχολιαστὴς ἑρμηνεύει· «ὃν ἐοικός ἐστι βουλεύεσθαι περὶ τοῦ ἢ μάχεσθαι ἢ φεύγειν».

[2] Μακρὰν τῆς σκηνῆς· καὶ ὁ Νέστωρ κοιμᾶται ἐκτὸς μὲν τῆς σκηνῆς, ἀλλὰ παρὰ ταύτῃ 74. Ὁ Εὐστάθιος παρατηρεῖ· «στρατιωτικὸν γὰρ τὸ αἰθριοκοιτεῖν».

[3] Ὁ Ἀριστοφάνης ἔγραφε πληθυντικῶς σαυρωτῆρας. Τὴν λέξιν τινὲς μὲν παράγουσιν ἐκ τοῦ σαῦρος (ἡ γκουστέρα), οἱ πλεῖστοι ὅμως ἐκ τοῦ σταυρός. Ὁ Εὐστάθιος ἑρμηνεύει τὴν λέξιν· «σαυρωτὴρ τὸ ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ δόρατος ἔσχατον ὀπίσθιον σιδήριον, κέντρον». Ὁ σαυρωτὴρ λέγεται καὶ οὐρίαχος, δηλ. τὸ οὐραῖον καὶ ἄκρον τοῦ δόρατος· τὰ δὲ δόρατα αὐτῶν εἶχον ἐμπηχθῆ ἐπὶ σαυρωτῆρος. Οἱ ἀρχαῖοι ἐκάκιζον τὴν τοιαύτην στάσιν τῶν δοράτων, διότι πολλάκις ἓν μόνον πεσὸν ἐνεποίησε θόρυβον τοῖς στρατιώταις. Διὰ τοῦτο οἱ Ἕλληνες βραδύτερον ἀπέφευγον τὴν τοιαύτην στάσιν, ἥ τις ἦτο ἐν χρήσει παρὰ τοῖς βαρβάροις.

[4] Ἡ λαμπηδὼν τῆς αἰχμῆς δηλοῖ πάντοτε ἀρετὴν ὅπλου.

[5] Ἄγραυλος λέγεται ὁ ἐν τοῖς ἀγροῖς αὐλιζόμενος, ὁ ἀγροτικός.

[6] Τάπης ἐνταῦθα εἶναι τὸ προσκεφάλαιον. Κατὰ τὸν Σχολιαστήν. «Τάπης δέ ἐστιν ὁ ἐκ τοῦ ἑτέρου μέρους ἔχων μαλλόν, ἀμφιτάπης δὲ ὁ ἐξ ἀμφοτέρων».

[7] Διὰ τοῦ ἄκρου τῶν ποδῶν κινήσας. Κατὰ τὸν Εὐστάθιον παράγεται ἐκ τοῦ λήγω· «καὶ δηλοῖ τὸ ληκτικῶς, ἤγουν τῷ λήγοντι μέρει τοῦ ποδός, ὅ ἐστι τοῖς δακτύλοις ἢ καὶ τῷ πέλματι». Οἱ νεώτεροι ὅμως θεωροῦσι τὸ

«Ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;[1]
οὐχ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῷ[2] πεδίοιο
εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;»[3]

Ὣς φάθ', ὁ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσεν,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

«Σχέτλιός[4] ἐσσι, γεραιέ· σὺ μὲν πόνου οὔποτε λήγεις.
οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν,
οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν βασιλήων
πάντη ἐποιχόμενοι; σὺ δ' ἀμήχανός[5] ἐσσι γεραιέ.»

Τὸν δ' αὖτε προσέειπε Γερήνιος ἱππότα Νέστωρ·

«Ναὶ δὴ ταῦτά γε πάντα, φίλος[6], κατὰ μοῖραν ἔειπες.
εἰσὶν μέν μοι παῖδες[7] ἀμύμονες, εἰσὶ δὲ λαοί
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν[8].

ἐπίρημα συγγενὲς τοῦ λατιν. calx. Ὅρα, ὅτι παρὰ τοῖς ὁμηρικοῖς ἀνθρώποις τοῦτο δὲν ἐθεωρεῖτο ἀπρεπές· διότι οὗτοι ἀποβλέπουσι μᾶλλον εἰς τὴν εὐκολίαν.

[8] Καὶ ἐμάλωσε κατὰ πρόσωπον.

[1] Οἱ ἀρχαῖοι παρῆγον τὸ ῥῆμα ἐκ τοῦ ἄ ω τ ο ν = ἄνθος ἐξηγοῦντες τὸ ἀωτεῖν ὕπνον ἀ π α ν θ ί ζ ε ι ν, ὅπερ ἐκ τῶν νεωτέρων δέχεται ὁ Düntzer. Κατὰ τοὺς πλείστους ὅμως τῶν νεωτέρων παράγεται ἐκ τοῦ ἄημι. Οὕτω σημαίνει φυσῶ, ῥέγχομαι· διὰ τί ὅλην τὴν νύκτα ῥοχαλίζεις;

[2] Ὁ Döderlein παράγει παρὰ τὸ θ ρ ώ σ κ ε ι ν ἢ θ ρ ώ σ σ ε ι ν. Σημαίνει δὲ ὕψωμα. Περιγραφὴν τοῦ Τρωϊκοῦ πεδίου, ὅρα ἐν Ἰσορ. ὁμηρ. ἐπῶν σελ. 318.

[3] Ὀλίγος τόπος ἀκόμη διαχωρίζει.

[4] Ἐνταῦθα σημαίνει ἀκάματος, ἀκαταπόνητος. Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Εἰώθαμεν δὲ ἀμελείας κρινόμενοι φιλοπονωτέρους τοῦ δέοντος ἀποφάσκειν τοὺς ἐγκαλοῦντας, τῷ ἐπαίνῳ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτοὺς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνους τοῦ δυνατοῦ περαιτέρω».

[5] Ἀδάμαστος, ἀκούραστος· δὲν διαφέρει κατὰ τὴν σημασίαν τοῦ σχέτλιος.

[6] Ὁ Ἀριστοφάνης ἔγραφε τέκος, ἀλλὰ τὰ ἄριστα χειρόγραφα ἔχουσι φίλος.

[7] Ἐν τῷ στρατοπέδῳ ἦσαν δύω υἱοὶ τοῦ Νέστορος, ὁ Θρασυμήδης καὶ ὁ Ἀντίλοχος.

[8] Δηλαδὴ ἕκαστον βασιλήων κατὰ τὸν στίχ. 166.

ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ [1] ἵσταται ἀχμῆς
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς [2], ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν, Αἴαντα ταχὺν καὶ Φυλέος υἱόν
ἄνστησον (σὺ γάρ ἐσσι νεώτερος), εἴ μ' ἐλεαίρεις [3]».

Ὣς φάθ', ὁ δ' ἄμφ' ὤμοισιν ἑέσσατο δέρμα λεοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος [4].
βῆ δ' ἰέναι, τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἥρως.

Οἱ δ' ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
οὐδὲ μὲν εὗδοντας φυλάκων ἡγήτορας εὗρον,
ἀλλ' ἐγρηγορτὶ [5] σὺν τεύχεσιν εἵατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωσιν [6] ἐν αὐλῇ

[1] Τὸ ξυρὸν παράγεται ἐκ τοῦ ξύω. Τοῦτο εἶναι παροιμία λεγομένη ἐπὶ ὀξύτητος κινδύνου· διότι πᾶν σῶμα ἱστάμενον ἐπὶ στενῆς ἐπιφανείας, εἶναι ἀκροσφαλές. Ἡρόδοτ. VI, 11· «ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πρήγματα, ἄνδρες Ἴωνες, ἢ εἶναι ἐλευθέροισι ἢ δούλοισιν», Θέογν. 557· «κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς» Σιμωνίδ. Ἐπιγράμμ. 99· «ἀκμὰς ἐστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι».

[2] Τὴν δοτικὴν Ἀχαιοῖς σύναψον μετὰ τοῦ πάντεσσιν. Τὸ βιῶναι εἶναι ὑποκείμενον τοῦ ἵσταται, ὡς καὶ ὁ λυγρὸς ὄλεθρος.

[3] Τοῦτο εἶναι ἀπόκρισις πρὸς τὰ εἰρημένα ἐν στίχ. 165.

[4] Ὁ Διομήδης δὲν ἔλαβε τὸ ξίφος, ὡς γίνεται δῆλον ἐν στίχ. 256.

[5] Ἀγρύπνως· τὸ ἐπίρρημα ἐγένετο ἐκ τοῦ παρακειμένου ἐγρήγορα, κατ' ἀναλογίαν τοῦ ἀναιμωτί, ἀνιδρωτί, ἀνουτητί, ἀμογητί. Ὀρθῶς εἶπεν ὁ Σχολιαστής· «Καθέζονται μέν, ἵνα μὴ ἡ ἀνάκλισις ὕπνον ἐμποιήσῃ, οὐχ ἑστᾶσι δέ, ἵνα μὴ πρὸ τῆς χρείας κάμωσιν».

[6] Τὰ χειρόγραφα ἔχουσι δυσωρήσονται, ἀνθ' οὗ κατὰ τὸν Barnes ἤθελεν εἶναι δυσωρήσωνται. Ἀλλ' ἡ γραφὴ τῶν χειρογράφων κατελείφθη· διότι ἐγένετο δεκτὴ ἡ παρ' Ἀπολλωνίῳ δυσωρήσωσιν. Περὶ δὲ τοῦ ἐτύμου καὶ τῆς σημασίας τοῦ ῥήματος ὑπάρχει διαφωνία· συνήθως ἐτυμολογεῖται παρὰ τὸ ὦρος, οὖρος = φύλαξ· κατὰ τοῦτο τὸ δυσωρεῖν σημαίνει δυσφυλακτεῖν, ἐ-

Θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην
ἔρχηται δι' ὄρεσφι· πολὺς δ' ὀρυμαγδὸς ἐπ' αὐτῷ
ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν [1].
ὡς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει
νύκτα φυλασσομένοισι [2] κακήν· πεδίονδε γὰρ αἰεί
τετράφαθ' [3], ὁππότ' ἐπὶ Τρώων ἅϊοιεν ἰόντων.
τοὺς δ' ὁ γέρων γήθησεν ἰδών, θάρσυνέ τε μύθῳ
[καί [4] σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα].

«Οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος
αἱρείτω, μὴ χάρμα [5] γενώμεθα δυσμενέεσσιν,»

Ὣς εἰπὼν τάφροιο [6] διέσυτο· τοὶ δ' ἅμ' ἕποντο
Ἀργείων βασιλῆες, ὅσοι κεκλήατο βουλήν [7].

πίπονον νυκτοφυλακὴν ἔχειν. Ἀλλ' ὁ μὲν Duentzer παράγει ἐκ τοῦ ὥρα, ὡς τὸ εὐωρεῖν καὶ ὀλιγωρεῖν, καθ' ὃ σημαίνει κακὴν φροντίδα ἔχειν, ὁ δὲ Döderlein ἐκ τοῦ ὥρα, καὶ ἑρμηνεύει κακὸν χρόνον ἢ κακὰς ὥρας ἔχειν, ὅπερ ἀπίθανον.

[1] Κατὰ τὸν Εὐστάθιον δηλοῖ· «ὡς οὐδ', εἴπερ ὑπνῶσαι βουληθεῖεν, δυνήσονται διὰ τὸ δυσεύρετον τοῦ ἤδη ἀπολωλότος ὕπνου». Καὶ ἡμεῖς λέγομεν, ἔχασα τὸν ὕπνον μου.

[2] Ἀντὶ τῆς δοτικῆς ἔπρεπε νὰ ὑπάρχῃ γενική, ὅπως συμφωνήσῃ πρὸς τὸ τῶν· ἀλλὰ καὶ ἀλλαχοῦ προηγουμένης γενικῆς ἕπεται δοτική, Ξ 141, ψ 206.

[3] Ἐπικῶς ἀντί, τετραμμένοι ἦσαν. Ἡ ἑπομένη πρόθεσις συναπτέα μετὰ τοῦ ἰόντων. Ὁ Ἀρίσταρχος ἑρμηνεύει· «φοβούμενοι μὴ ἐπελεύσονται οἱ Τρῶες τετραμμένοι ἦσαν πρὸς τὸ πεδίον». Τὴν ἑρμηνείαν ταύτην δέχεται καὶ ὁ La Roche.

[4] Ὁ στίχος οὗτος δὲν ὑπάρχει ἐν πολλοῖς χειρογράφοις καὶ φαίνεται περιττός.

[5] Μήπως γείνωμεν ἀντικείμενον χαρᾶς εἰς τοὺς πολεμίους.

[6] Οἱ φύλακες ἔμενον μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου. Φαίνεται, ὅτι ἐξέρχεται τῆς τάφρου, ὅπως ἐμπνεύσῃ θάρρος τοῖς κατασκόποις, οὓς ἔμελλε νὰ πέμψῃ, ὡς λέγει ὁ Εὐστάθιος· «οὐ γὰρ ἦν ἀνδρῶδες τὸν ἄλλους εἰς κίνδυνον στέλλοντα ἐντὸς αὐτὸν τάφρου συστέλλεσθαι καὶ μὴ προϊέναι τολμᾶν».

[7] Ἔθηκεν αἰτιατικὴν ἀπρόθετον ἀντὶ εἰς βουλὴν ἢ βουλήνδε. Ὅρα Α 322.

τοῖς δ' ἅμα Μηριόνης καὶ Νέστορος ἀγλαὸς υἱός [1]
ἦισαν· αὐτοὶ [2] γὰρ κάλεον συμμητιάασθαι.
τάφρον δ' ἐκδιαβάντες ὀρυκτὴν [3] ἑδριόωντο
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος
πιπτόντων [4], ὅθεν αὖτις ἀπετράπετ' [5] ὄβριμος Ἕκτωρ
ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν.
ἔνθα καθεζόμενοι ἔπε' ἀλλήλοισι πίφαυσκον [6].
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·

«Ὦ φίλοι [7], οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῷ αὐτοῦ
θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους 205
ἐλθεῖν; εἰ [8] τινά που δηΐων ἕλοι ἐσχατόωντα [9],
ἦ τινά που καὶ φῆμιν [10] ἐνὶ Τρώεσσι πύθοιτο,

[1] Οὗτοι ἦσαν οἱ ἐξοχώτατοι τῶν φυλάκων.

[2] Δηλαδὴ Ἀργείων βασιλῆες· διότι οἱ ἴδιοι τοὺς ἐκάλουν νὰ συσκεφθῶσιν.

[3] Κατὰ τὸν Εὐστάθιον· «ὀρυκτὴ τάφρος κατὰ τοὺς παλαιοὺς ἡ χειρόκμητος πρὸς διαστολὴν τῶν ἄλλως χαραδρουμένων τόπων».

[4] Παραδόξως ἐνταῦθα κεῖται ἐνεστὼς ἀντὶ τοῦ παρακειμένου πεπτεώτων· ἀλλὰ καὶ τὸ θνήσκειν ἔχει σημασίαν παρακειμένου.

[5] Ὅρα Ι 490.

[6] Κατ' ἀναδιπλασιασμὸν ἐκ τοῦ φάω, φαύσκω· κυρίως σημαίνει, φανερόνω, φανερὸν ποιῶ, ἐξηγῶ· μεταξύ των συνδιελέγοντο.

[7] Ὁ Νέστωρ ἄρχεται ἐξ αὐτοῦ τοῦ πράγματος· διότι ἐν τῷ παρόντι καιρῷ δὲν ἦτο ἀνάγκη προοιμίων, ἀλλ' ὀξυβουλίας. Μετὰ συνέσεως ὁ γέρων δὲν ἀποτείνεται πρὸς ὡρισμένον ἥρωα, ὅπως μὴ τοὺς ἄλλους λυπήσῃ ὡς ἀτόλμους.

[8] Πρὸ τοῦ εἰ ἐννοεῖται ἡ μετοχὴ πειρώμενος. Ἐνταῦθα παροτρύνει τὸν τολμηρόν, ἵνα ζωγρήσῃ καὶ οὐχὶ ἵνα φονεύσῃ· διότι ὁ φόνος ἑνὸς πολεμίου δὲν ἦτο σπουδαῖον, ὅπως ἐκτεθῇ πρὸς οὕτω κινδυνώδη ἐπιχείρησιν.

[9] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ἔσχατον, ὑπολειπόμενον, πεπλανημένον καὶ περὶ τὰ ἔσχατα μέρη διατρίβοντα».

[10] Λόγος, συνδιάλεξις, ὡς ἐπεξηγεῖται διὰ τῆς ἑπομένης ἀναφορικῆς προτάσεως· ἢ ἐὰν μάθῃ λόγον τινὰ εἰς κανὲν μέρος μεταξὺ τῶν Τρώων περὶ ἐκείνων, ὅσα σκέπτονται μεταξύ των.

ἄσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν [1], ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς.
ταῦτά κε [2] πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθής [3]· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
πάντας ἐπ' ἀνθρώπους [4], καὶ οἱ δόσις ἔσσεται ἐσθλή·
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι,
τῶν πάντων οἱ ἕκαστος ὅϊν δώσουσι μέλαιναν [5],
θῆλυν [6] ὑπόρρηνον· τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι [7] παρέσται.»

[1] Δηλαδὴ τῆς πόλεως.

[2] Τὰ πλεῖστα τῶν χειρογράφων ἔχουσι ταῦτα κε, ἄλλα δὲ ταῦτα τε, ὅπερ δέχεται ὁ Düntzer τιθεὶς κόμμα μετὰ τὸ ἀσκηθής. Οὕτω ποιεῖ τὴν πρότασιν ὑποθετικήν, ὡσεὶ προηγεῖτο τὸ εἰ. Τοῦτο ὅμως δὲν δέχονται οἱ πλεῖστοι τῶν ἐκδοτῶν.

[3] Ἀβλαβής, σῶος. Περὶ τοῦ ἐτύμου τῆς λέξεως ἐγένοντο μὲν πολλαὶ εἰκασίαι, ἀλλὰ δὲν φαίνονται πολὺ πιθαναί. Ἄλλοι μὲν ἐτυμολογοῦσι παρὰ τὸ ἀσκέω, ἄλλοι δὲ παρὰ τὸ σχέθω, δηλ. ἀσχεθὴς καὶ ὁ Doederlein παρὰ τὸ σκάζω.

[4] Ἐπεξηγεῖ τὸ ὑπουράνιον.

[5] Ἐν τῷ ὁμηρικῷ αἰῶνι τὸ μέλαν καὶ τὸ σκοτεινὸν χρῶμα τῶν ἐρίων τῶν προβάτων ἐτιμᾶτο μᾶλλον τοῦ λευκοῦ I 426 «ἄρσενες ὄιες ἦσαν εὐτρεφέες δασύμαλλοι, καλοί τε μεγάλοι τε, ἰοδνεφὲς εἶρος ἔχοντες» Τοὐναντίον οἱ νεώτεροι Ἕλληνες τὸ μέλαν χρῶμα τῶν προβάτων θεωροῦσι δυσοίωνον σημεῖον καὶ διὰ τοῦτο κατὰ τὸ Πάσχα δὲν σφάζουσι μαῦρον ἀρνίον.

[6] Ἀντὶ νὰ εἴπῃ θήλειαν, ἀλλὰ τὰ ἐπίθετον εὑρηται καὶ ἀλλαχοῦ ὡς δικατάληκτον, ὡς Ε 269, Τ 97. Ὑπόρρηνος δὲ σημαίνει τὴν ὕπαρνον, δηλ. τὴν θηλάζουσαν, διότι κατὰ τὸν Εὐστάθιον· «Οἱ δὲ ἄρνες οὐ μόνον ῥῆνες, ὡς ἐρρέθη, λέγονται, ἀλλὰ καὶ μᾶλλον ἀρῆνες, ὅθεν οἱ ἄρνες ἐν συγκοπῇ. Διὸ καὶ ἀρηνοβοσκὸς ὁ προβατοβοσκὸς κατὰ τὸν Παυσανίαν». Ἀνάλογα εἶναι τὸ ὑπόπορτις ἐν Ἔργ. 603 καὶ ὑπόπωλος, δ 381 ι 245 καὶ ἀλλαχοῦ.

[7] Ἡ ὑπὸ τῶν ἀρχαίων λεγομένη σύνθεσις τῆς λέξεως ἐκ τοῦ εἵλη (πολλοὶ ἄνθρωποι) καὶ πίνειν (καθ' ἣν σημαίνει συμπόσιον) δὲν ἐπιδοκιμάζεται ὑπὸ

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
«Νέστορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ [1] 220
ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων [2],
Τρώων· ἀλλ' εἴ τίς μοι ἀνὴρ ἅμ' ἕπσιτο καὶ ἄλλος,
μᾶλλον θαλπωρὴ [3] καὶ θαρσαλεώτερον ἔσται.
σύν τε δύ' ἐρχομένω [4], καί τε πρὸ ὃ [5] τοῦ ἐνόησεν,
ὅππως κέρδος ἔῃ· μοῦνος δ' [6] εἴ περ τε νοήσῃ, 225

τοῦ Döderlein, ὅστις παράγει ἐκ τοῦ ἐλλάπτειν = ἐμπίνειν, ὡς τὸ κόπανον ἐκ τοῦ κόπτειν. Ὁπωσδήποτε σημαίνει συμπόσιον, εὐωχίαν. Ἐκ τοῦ χωρίου τούτου ὁ Σχολιαστὴς ἐξάγει τὸ συμπέρασμα· «ὡς οὐ πάντες ἀεὶ ἐκαλοῦντο». Κατὰ τὸν La Roche ὅμως ἡ ὑπόσχεσις ἀφορᾷ μόνον εἰς τὸν Θρασυμήδη καὶ τὸν Μηριόνην· διότι οἱ λοιποὶ ἄνακτες ὡς γέροντες τῆς τιμῆς ταύτης μετεῖχον ἤδη καὶ ἄνευ τοῦ κατορθώματος τούτου.

[1] Τοῦτο εἶναι ἀπόκρισις εἰς τὴν ἐρώτησιν τοῦ Νέστορος ἐν στίχ. 205.

[2] Νὰ εἰσέλθω εἰς τὸν στρατὸν τῶν πολεμίων, ἂν καὶ εἶναι πλησίον. Τὸ ἐγγὺς ὄντων δηλοῖ τὸ τολμηρὸν τῆς ἐπιχειρήσεως.

[3] Ἀντὶ τοῦ οὐσιαστικοῦ περιεμένομεν ἐπίθετον, εἰς ὃ ἤθελεν ἁρμόζει τὸ μᾶλλον. Ἡ θαλπωρὴ δύναται ἐνταῦθα νὰ ἐξηγηθῇ ἐλπίς. Καὶ ἡμεῖς ἐν οὐχὶ πολὺ διαφόροις περιστάσεσι λέγομεν, πιάνω τὸ ἔργον μὲ τὰ ζεστά.

[4] Ὁ Εὐστάθιος λέγει τοῦτο σολοικοφανές, διότι ὁ ποιητὴς ἔπρεπε νὰ εἴπῃ, σύντε δύ' ἐρχομένων. Παραπλήσιον ὑπάρχει ἐν Γ 211· «ἄμφω δ' ἐζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς». Τὸ γνωμικὸν τοῦτο περιέπεσεν εἰς παροιμίαν παρὰ τοῖς ἔπειτα, οἵτινες ἔλεγον σύντε δύω καὶ πλέον οὐδέν, διότι ὁ ἀκροατὴς ἀνεπλήρου τὸ λειπόμενον. Καὶ ἡμεῖς λέγομεν, τὰ τέσσαρα μάτια βλέπουσι καλλίτερ' ἀπὸ τὰ δύω.

[5] Τὸ ὑποκείμενον εὕρηται καὶ ἀλλαχοῦ παρεμβεβλημένον μεταξὺ τῆς προθέσεως καὶ τῆς συνταχτιλῆς πτώσεως, Ε 219. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «δυοῖν συνερχομένων ἕτερος ὁ πρὸ θατέρου πολλάκις ἐλογίσατο».

[6] Ὁ Düntzer καὶ ὁ Hentze θέτουσι κόμμα μετὰ τὸ μοῦνος δ', διότι τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὸ σὺν τε δυ' ἐρχομένω.

ἀλλά [1] τέ οἱ βράσσων τε νόος, λεπτὴ [2] δέ τε μῆτις.»
Ὣς ἔφαθ', οἱ δ' ἔθελον [3] Διομήδεϊ πολλοὶ ἕπεσθαι.
ἠθελέτην Αἴαντε δύω, θεράποντες Ἄρηος,
ἤθελε Μηριόνης, μάλα δ' ἤθελε Νέστορος υἱός,
ἤθελε δ' Ἀτρεΐδης δουριχλειτὸς Μενέλαος,
ἤθελε δ' ὁ τλήμων [4] Ὀδυσσεὺς καταδῦναι ὅμιλον
Τρώων· αἰεὶ γὰρ οἱ ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
«Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
τὸν μὲν δὴ ἕταρόν [5] γ' αἱρήσεαι, ὅν κ' ἐθέλησθα,
φαινομένων [6] τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.
μηδὲ σύ γ' αἰδόμενος [7] σῇσι φρεσὶ τὸν μὲν ἀρείω
καλλείπειν [8], σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων,

[1] Παραπλησία σύνταξις ὑπάρχει ἐν Α 82. Τὸ βράσσων συνήθως θεωρεῖται ὡς συγκριτικὸν τοῦ βραδύς, ὁ Curtius ὅμως, ᾧ ἀκολουθοῦσι πολλοὶ τῶν ἑρμηνευτῶν, λέγει συγκριτικὸν τοῦ βραχύς, ὅπερ ὁ Ὅμηρος δὲν μεταχειρίζεται, ὡς ὁ Ἀρίσταρχος παρετήρησεν. Ἂν λοιπὸν ἀνήκῃ εἰς τὸ βραχύς, σημαίνει τὸν βραχυγνώμονα, τὸν μὴ βλέποντα μακρὰν διανοητικῶς.

[2] Ἀντὶ τοῦ θετικοῦ λεπτὴ περιεμένομεν τὸ συγκριτικὸν λεπτοτέρη. Σημαίνει δὲ ἀσθενής, ἀδύνατος· τὸ ἀντίθετον εἶναι μῆτις πυκινή.

[3] Οὗτοι δὲ ἦσαν πρόθυμοι νὰ ἀκολουθήσωσι πολλοὶ τὸν Διομήδη.

[4] Ἐνταῦθα σημαίνει τὸν τολμηρόν, ὡς ἐτυμολογεῖται τὸ ἐπίθετον διὰ τῆς ἑπομένης προτάσεως.

[5] Συνεργόν· ὁ ἑπόμενος μέλλων ἔχει δυνητικὴν σημασίαν.

[6] Τὸν ἄριστον ἐξ ἐκείνων, οἱ ὁποῖοι παρουσιάζονται. Ἐπειδὴ ὅμως εἰς τὴν τοιαύτην σημασίαν τοῦ φαίνεσθαι ὁ Döderlein προσκρούει, διορθοῖ εἰς φαινόμενον καὶ ἐξηγεῖ· ἔκλεξον τοῦτον ὡς ἑταῖρον, ὅστις φαίνεταί σοι ὁ ἄριστος· ὁ δὲ Paech εἶχασεν, ὅτι πρέπει νὰ διορθωθῇ εἰς φαινόμενόν τοι ἄριστον.

[7] Ὁ Σχολιαστὴς παρατηρεῖ· «Διδάσκει, ὅτι πολλάκις αἰδὼς ἐκκρούει τοῦ συμφέροντος».

[8] Ἀντὶ προσταχτικῆς, κατάλειπε· καὶ ὁ ἑπόμενος μέλλων πλησιάζει εἰς τὴν σημασίαν τῆς προσταχτικῆς. Ἐπειδὴ ἐπαναλαμ-

ἐς γενεὴν ὁρόων [1], μηδ' εἰ βασιλεύτερός ἐστιν.»
Ὣς [2] ἔφατ', ἔδδεισεν δὲ [3] περὶ ξανθῷ Μενελάῳ.
τοῖς δ' αὖτις μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
«Εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν [4] ἑλέσθαι,
πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
οὗ πέρι [5] μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ ἑ Παλλὰς Ἀθήνη [6].
τούτου γ' ἑσπομένοιο καὶ ἐκ πυρὸς αἰθομένοιο [7]
ἄμφω νοστήσαιμεν, ἐπεὶ περίοιδε [8] νοῆσαι.»
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
«Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε [9] μήτε τι νείκει·

βάνει τὴν ἀντωνυμίαν σύ, συνέβη ἀνωμαλία τις· διότι ἔπρεπε νὰ εἴπῃ, χ ε ί ρ ο ν α δ έ.

[1] Ἀποβλέπων εἰς τὸ γένος. Καὶ ἐνταῦθα ὁ Ἀγαμέμνων εἰκονίζεται φιλάδελφος, ὡς καὶ ἐν Δ 148 καὶ Η 109.

[2] Οἱ ἀρχαῖοι ἐθεώρουν τὸν στίχον νόθον, ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Ἀθετεῖται, ὅτι περισσὸς ὁ στίχος καὶ παρέλκων, καὶ μὴ ἐπιλεγόμενος ἀπαρτίζει τὴν διάνοιαν».

[3] Ἡ πρότασις αὕτη αἰτιολογεῖ τὸν λόγον τοῦ Ἀγαμέμνονος, δηλ. μετεχειρίσθη ὁ ποιητὴς τὸν δὲ ἐν αἰτιολογικῇ σημασίᾳ.

[4] Μ' αὐτὸν καὶ οὐχὶ ἔ μ' α ὐ τ ό ν, διότι ἡ ἔμφασις πίπτει ἐπὶ τοῦ αὐτόν.

[5] Ἐπιρρηματικῶς, περισσῶς, κατ' ἐξοχήν. Ὁ Διομήδης θαρρῶν εἰς τὴν ἑαυτοῦ ἀνδρείαν δὲν ἐκλέγει τὸν ἀνδρειότατον, οἷος ὁ Τελαμώνιος Αἴας, ἀλλὰ τὸν συνετώτατον, οἷος ἦτο ὁ Ὀδυσσεύς. Ὅρα δέ, ὅτι ὁ Διομήδης μετὰ φρονήσεως ἐκλέγων τὸν Λαερτιάδην πειρᾶται, ὅπως μὴ προσβάλῃ τοὺς ἄλλους ἥρωας.

[6] Ἡ Ἀθηνᾶ εἶναι ἡ κατ' ἐξοχὴν προστάτις τοῦ Ὀδυσσέως καὶ τοῦ Διομήδους.

[7] Διὰ τῆς φράσεως ταύτης δηλοῖ τὸν ἔσχατον κίνδυνον, ὡς παρ' Ἀριστοφάν. ἐν Λυσιστράτ. 133 «κἂν με χρῇ διὰ τοῦ πυρὸς ἐθέλω βαδίζειν».

[8] Κατ' ἐξοχήν, ὑπὲρ πάντας ἐννοεῖ.

[9] Ὁ Ὀδυσσεὺς ἀποφεύγει τοὺς ἐπαίνους· διότι οἱ ἀκούοντες γινώσκουσι τὸν ἥρωα. Πρὸς δὲ τοὺς μὴ εἰδότας αὐτὸς ὁ Ὀδυσσεὺς ἐπαινεῖ ἑαυτὸν ἐν ι 19 «εἴμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει».

εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται [1], ἐγγύθι δ' ἠώς,
ἄστρα δὲ δὴ προβέβηκε [2], παρώχηκεν δὲ πλέων νύξ
τῶν δύο [3] μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.»
Ὣς εἰπόνθ' [4] ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην.
Τυδείδῃ μὲν δῶκε μενεπτόλεμος Θρασυμήδης

[1] Τὸ ἄνω, οὗ τὸ μέσον ἄνομαι, φαίνεται, ὅτι εἶναι συγγενὲς τοῦ ἀνύω· ἡ νὺξ τελειοῦται, εἶναι εἰς τὸ τέλος.

[2] Καὶ τὰ ἄστρα δὰ προεχώρησαν, πλησιάζουσι νὰ δύσωσιν. Τὰ χειρόγραφα ἔχουσι παρώχηκε(ν), ὁ δὲ Ἀρίσταρχος ἀνεγίνωσκε παρώχωκεν, ὅπερ δέχονται ὁ La Roche, ὁ Bekker καὶ ὁ Nauck.

[3] Οἱ ἀρχαῖοι ἠθέτουν τὸν θαυμάσιον τοῦτον στίχον δι' αἰτίας, ἃς ἀναγινώσκωμεν παρὰ τῷ Σχολιαστῇ· «Ἀθετεῖται, ὅτι αὐτάρκες τὸ κεφαλαιῶδες εἰπεῖν «ἄστρα δὲ δὴ προβέβηκε»· τὸ γὰρ τοῦ καιροῦ τοῦτο ἀπαιτεῖ· τὸ δὲ προσδιασαφεῖν κατὰ τὸ ἀκριβὲς τὸ παρελήλυθὸς καὶ τὸ περιλειπόμενον ὥσπερ ἀστρονόμου τινός. Οὐχ ὁμηρικὸν δὲ καὶ τὸ τῶν δύο· οἱ δύο μὲν γὰρ λέγει καὶ τοὺς δύο, τῶν δύο δὲ ἢ τοῖς δύο οὐκ ἔστιν εὑρεῖν παρ' Ὁμήρῳ. Ζηνόδοτος δὲ ἔγραφεν. Ἀριστοφάνης ἀθέτει». Ἐκ τῶν νεωτέρων ἀθετοῦσιν ὁ Bekker καὶ ὁ Nauck. Ὁ ἀκριβέστερος ὅμως προσδιορισμὸς τοῦ χρόνου ἐξηγεῖται ἐκ τούτου, ὅτι ὁ Ὀδυσσεὺς ἐκ παντὸς τρόπου πειρᾶται νὰ δείξῃ τὸ κατεπεῖγον· ἡ δὲ γραμματικὴ παρατήρησις δὲν εἶναι ὀρθή· διότι τὸ δύω καὶ δύο κεῖται ἀντὶ γενικῆς καὶ δοτικῆς, κ 515 «ζύνεσίς τε δύω ποταμῶν ἐριδούπων» καὶ N 407 «δύω κανόνεσσ' ἀραρυῖαν». Οἱ ἑρμηνευταὶ κατὰ πολλοὺς καὶ διαφόρους τρόπους συντάσσουσι τὸ χωρίον· ὁ Grossmann, ὁ Duentzer καὶ ὁ Dissen θεωροῦσιν ὡς παράθεσιν· παρῆλθε τὸ μεῖζον μέρος τῆς νυκτός, δηλ. τὸ τῶν δύω μοιρῶν. Ὁ La Roche δέχεται ὡς γενικὴν μεριστικήν, ὁ Franke ὡς γενικὴν τοῦ συγκριτικοῦ καὶ τέλος ὁ Doederlein καὶ ὁ Koch νομίζουσιν, ὅτι τὸ δύο εἶναι ὀνομαστικῆς καὶ παράθεσις εἰς τὸ πλέων νύξ, ὅπερ ἤθελε γείνει σαφέστερον, ἂν ὁ ποιητὴς ἔλεγε, δύο τῶν μοιρῶν. Οἱ Ἕλληνες διῄρουν τὴν νύκτα εἰς τρεῖς μοίρας ὡς γίνεται δῆλον ἐν μ. 312 καὶ ξ 483.

[4] Ἀποδίδοται εἰς τὸν Ὀδυσσέα καὶ τὸν Διομήδη, οἵτινες τελευταῖον εἶπον. Τὸ δύνειν καὶ ἐνδύνειν συνηθέστερον συντάσσεται πρὸς αἰτιατικήν.

φάσγανον ἄμφηκες [1] (τὸ δ' ἐὸν παρὰ νηῒ λέλειπτο)
καὶ σάκος· ἀμφὶ δέ οἱ κυνέην [2] κεφαλῇφιν ἔθηκεν
ταυρείην, ἄφαλόν [3] τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
κέκληται, ῥύεται [4] δὲ κάρη θαλερῶν αἰζηῶν.
Μηριόνης δ' Ὀδυσῆϊ δίδου βιὸν [5] ἠδὲ φαρέτρην
καὶ ξίφος· ἀμφὶ δέ οἱ κυνέην κεφαλῇφιν ἔθηκεν,
ῥινοῦ ποιητήν· πολέσιν δ' ἔντοσθεν ἱμᾶσιν
ἐντέτατο στερεῶς· ἔκτοσθε δὲ λευκοὶ [6] ὀδόντες
ἀργιόδοντος ὑὸς θαμέες ἔχον [7] ἔνθα καὶ ἔνθα
εὖ καὶ ἐπισταμένως· μέσση δ' ἐνὶ πῖλος [8] ἀρήρει.

[1] Σύνθετον ἐκ τῆς ἀμφὶ καὶ ἀκή· σημαίνει δὲ δίστομον, δίκοπον.

[2] Κυνέη κυρίως λέγεται ἡ ἐκ δέρματος κυνὸς κατεσκευασμένη περικεφαλαία· καταχρηστικῶς δὲ καὶ ἡ ἐκ ταύρου, ἡ δὲ κατάχρησις ὁμοιάζει πρὸς τὴν νέκταρ ἐωνοχόει καὶ ἵπποι ἐβουκολοῦντο.

[3] Ἄφαλος λέγεται ἡ μὴ ἔχουσα φάλους, οὓς ὁ Σχολιαστὴς ἑρμηνεύει· «φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις». Παράβαλλ. καὶ Γ 362. Ὡσαύτως ἄλλοφος εἶναι ἡ μὴ ἔχουσα λόφους. Φορεῖ δὲ τοιαύτην περικεφαλαίαν, ὅπως λανθάνῃ, ὡς παρατηρεῖ ὁ Εὐστάθιος· «οὐ μόνον γὰρ ἀλαμπὴς ἡ τοιαύτη, ἀλλὰ καὶ χθαμαλή, ὡς μὴ ἔχουσα λόφον ἤτοι τρίχωσιν». Οἱ ἀρχαῖοι παράγουσι τὸ καταῖτυξ ἀπὸ τοῦ κάτω τετύχθαι, ὁ δὲ Doederlein ἐκ τῆς κατὰ καὶ τέγω (ἐξ οὗ καὶ τὸ λατ. toga)· Κατὰ τὴν τελευταίαν σύνθεσιν σημαίνει κυρίως καταστέγασμα. Εἶναι δὲ εἶδος ἐλαφρᾶς περικεφαλαίας.

[4] Προφυλάσσει δὲ τὴν κεφαλὴν ἀπὸ τῆς προσβολῆς ἀχμαίων νέων.

[5] Ἐπειδὴ ἡ νὺξ ἦτο σκοτεινὴ (στίχ. 275), φαίνεται παράδοξον, ὅτι ὁ Ὀδυσσεὺς λαμβάνει μεθ' ἑαυτοῦ τόξον.

[6] Εἶναι πλεονασμός, διότι ἤρκει νὰ εἴπῃ ὁ ποιητὴς ἢ λευκοὺς ὀδόντας ὑὸς ἢ ὀδόντας ἀργιόδοντος ὑός.

[7] Ἦσαν ἐμπεπηγμένοι· ὁ Koch ὅμως ἑρμηνεύει ἐξεῖχον. Ὁ Ducntzer καὶ Nauck εἰκάζουσιν, ὅτι πρέπει νὰ γραφῇ θέον· ὅρα Ζ 118.

[8] Πῖλος κυρίως λέγεται τὸ καταπεπυκνωμένον ἔριον, ἤτοι τὸ συμπεπιλημένον. Ὁ Εὐστάθιος παρατηρεῖ· «Ὁ δὲ περὶ τὴν μέσην αὐτὴν ἡρμοσμένος πῖλος ἐκώ-

τήν ῥά ποτ' ἐξ Ἐλεῶνος [1] Ἀμύντορος Ὀρμενίδαο
ἐξέλετ' Αὐτόλυκος [2] πυκινὸν δόμον ἀντιτορήσας [3].
Σκάνδειαν [4] δ' ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι·
Ἀμφιδάμας δὲ Μόλῳ [5] δῶκε ξεινήϊον εἶναι,
αὐτὰρ ὁ Μηριόνῃ δῶκεν ᾧ παιδὶ φορῆναι [6]·
δὴ τότ' Ὀδυσσῆος πύκασεν κάρη [7] ἀμφιτεθεῖσα.

Τὼ δ' ἐπεὶ οὖν ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην,
βάν ῥ' ἰέναι, λιπέτην δὲ κατ' αὐτόθι [8] πάντας ἀρίστους.
τοῖσι δὲ δεξιὸν ἦκεν ἐρωδιὸν [9] ἐγγὺς ὁδοῖο
Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσιν
νύκτα δι' ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουσαν [10].

λυε τὰ τῶν ὀδόντων ἄκρα ἐντὸς προκύπτοντα λυπεῖν τὴν κεφαλήν. Ἰστέον δὲ καὶ ὅτι πάσῃ μὲν περικεφαλαίᾳ κατὰ τοὺς παλαιοὺς συμβέβηκε πῖλον ἔχειν ἐντός".

[1] Ὁ Ἐλεών ἔκειτο ἐν Βοιωτίᾳ Β 500. Ἡ γενικὴ Ἀμύντορος εἶναι συντακτικὴ τοῦ δόμον καὶ δὲν ἀνήκει εἰς τὸ ἐξέλετο.

[2] Ὁ πατὴρ τῆς Ἀντικλείας καὶ πάππος τοῦ Ὀδυσσέως τ 394. Ἐπειδὴ δὲ ἦτο κλεπτίστατος πάντων ἀνθρώπων, ἐλέγετο υἱὸς τοῦ Ἑρμοῦ, τοῦ ἐφόρου τῆς κλεπτικῆς.

[3] Τρυπήσας πέρα καὶ πέρα.

[4] Ἡ Σκάνδεια ἦτο ἐπίνειον τῶν Κυθήρων. Τινὰ τῶν ἀντιγράφων τῶν μὴ ἀκριβῶν κατὰ τὸν Εὐστάθιον εἶχον Σκανδεία· φαίνεται, ὅτι ὁ διορθωτὴς ἐσκόπει νὰ ἄρῃ τὴν ἐνταῦθα ὑπάρχουσαν συντακτικὴν δυσκολίαν. Ἡ αἰτιατικὴ κεῖται ἀντὶ τοῦ Σκανδειάνδε, ὡς ἐν Φ 40 "τότε μιν Λῆμνον ἐπέρασεν". Ὁ Ἀμφιδάμας ἔν τινι ξενίᾳ ἔλαβε τὴν περικεφαλαίαν καὶ ἤνεγκε μεθ' ἑαυτοῦ εἰς τὴν Σκάνδειαν.

[5] Πατὴρ τοῦ Ἰδομενέως, Ν 249.

[6] Τὰ ἐνταῦθα λεγόμενα περὶ τῆς περικεφαλαίας ὑπομιμνήσκουσι τὰ κατὰ τὴν παράδοσιν τοῦ σκήπτρου τῶν Πελοπιδῶν ἐν Β 102.

[7] Ἐκάλυψε, κατεσκέπασεν.

[8] Ὁ Koch γράφει κατα υτόθι, ὅπερ εἶναι ταὐτόσημον τοῦ καταῦθι Φ 201 καὶ φ 90. Ἡ πρόθεσις ὅμως ἀνήκει εἰς τὸ λιπέτην.

[9] Κατὰ τὸν Εὐστάθιον "οἰκεῖον ὄντα τοῖς περὶ Σκάμανδρον ἑλώδεσι τόποις".

[10] Ὁ Ἕρμων ἐξήγει τὸ σημεῖον ὡς ἀγαθόν, καθ' ἃ λέγει ὁ Σχολιαστής· "Ἀγαθὸν λίαν τὸ σημεῖον τοῖς ἐνεδρεύουσιν, ὡς φησιν

χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυσεύς, ἠρᾶτο δ' Ἀθήνῃ·
«Κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἥ τε [1] μοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω
κινύμενος· [2] νῦν αὖτε μάλιστά με φῖλαι, Ἀθήνη,
δὸς δὲ πάλιν ἐπὶ νῆας ἐϋκλεΐας [3] ἀφικέσθαι,
ῥέξαντας μέγα ἔργον [4], ὅ κε Τρώεσσι μελήσει.»
Δεύτερος αὖτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
«Κέκλυθι νῦν καὶ ἐμεῖο, Διὸς τέκος, Ἀτρυτώνη·
σπεῖό [5] μοι, ὡς ὅτε πατρὶ ἅμ' ἕσπεο Τυδέϊ δίῳ
ἐς Θήβας [6], ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελος ἦει.
τοὺς δ' ἄρ' ἐπ' Ἀσωπῷ λίπε χαλκοχίτωνας Ἀχαιούς,
αὐτὰρ ὁ μειλίχιον [7] μῦθον φέρε Καδμείοισιν

Ἕρμων. Ἐδήλου δὲ ὅτι οὐχ ὁρα-
θήσονται μέν, ἔκπυστα δὲ καὶ ἄ-
κρυπτα δράσουσιν ἐν τοῖς πολε-
μίοις».

[1] Σχῆμα κατὰ σύνεσιν· διότι ἡ ἀντωνυμία ἐτέθη κατὰ τὸ φυσικὸν γένος τοῦ προηγουμένου ὀνόματος, ὡς ἐν Ε 382.

[2] Ἐπικῶς ἀντὶ κινούμενος. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ἐπὶ πρᾶξιν ὁρμῶν».

[3] Κατὰ τοὺς ἀρχαίους ἐγένετο ἐκ τοῦ εὐκλέας κατ' ἐπένθεσιν τοῦ ι. Ὁ La Roche παρατηρεῖ, ὅτι ὁ τονισμός, ὅστις παρεδόθη ἡμῖν, εἶναι ἡμαρτημένος, διότι ἂν ἤθελέ τις νὰ διαφωνήσῃ πρὸς τοὺς ἀρχαίους κατὰ τὸν τονισμόν, ἔπρεπε νὰ τονίσῃ εὐκλειᾶς, ὡς χοᾶς. Ἀλλ' ἡ γνώμη αὕτη δὲν ἐπιδοκιμάζεται. Ὅρα λεξικὸν Ebeling ἐν λ. Ἐπίτρεψον δὲ νὰ ὑποστρέψωμεν ὀπίσω εἰς τὰ πλοῖα ἔνδοξοι.

[4] Τολμηρὰν πρᾶξιν. Ὁ Ἀρίσταρχος εἴκαζεν, ὅτι ὁ Ὀδυσσεὺς ἐνόει τὸν φόνον τοῦ Ἕκτορος. Περὶ τοῦ μελήσει ὅρα ἐν στίχ. 51.

[5] Ἀκολούθει μοι, συνόδευσόν μοι ὡς προστάτις. Τὸ σπεῖο ἀπαντᾷ μόνον ἐνταῦθα· διότι ἀλλαχοῦ εὕρηται ἕπεο καὶ ἕπευ.

[6] Ἡ διήγησις αὕτη ἐκτίθεται ἐκτενέστερον ὑπὸ τοῦ ποιητοῦ ἐν Δ 382—98. Ὅρα καὶ Ε 802. Κατὰ δύω τρόπους δύναται ἡ ἑπομένη πρόθεσις νὰ συνταχθῇ, ἢ μετὰ τῆς γενικῆς Ἀχαιῶν, ὡς Δ 156, ὅπερ πιθανώτερον, ἢ μετὰ τοῦ ἦει.

[7] Ὁ Τυδεὺς ἔφερε μείλιχον λόγον, διότι ἐπρέσβευε περὶ διαλύσεων καὶ εἰρήνης.

κεῖσ'· ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα μήσατο ἔργα
σὺν σοί, δῖα θεά, ὅτε οἱ πρόφρασσα [1] παρέστης.
ὡς νῦν μοι ἐθέλουσα παρίστασο καί με φύλασσε·
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἤνιν [2] εὐρυμέτωπον,
ἀδμήτην [3], ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.»

Ὣς ἔφαν εὐχόμενοι, τῶν δ' ἔκλυε Παλλὰς Ἀθήνη.
οἱ δ' ἐπεὶ ἠρήσαντο Διὸς κούρῃ μεγάλοιο,
βάν ῥ' ἴμεν ὥς τε λέοντε δύω διὰ νύκτα μέλαιναν [4],
ἂμ φόνον, ἂν νέκυας, διά τ' ἔντεα καὶ μέλαν αἷμα [5].

Οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασ' Ἕκτωρ
εὕδειν, ἀλλ' ἄμυδις [6] κικλήσκετο πάντας ἀρίστους,

[1] Θηλυκὸν τοῦ πρόφρων, εὔχρηστον παρὰ τοῖς ἐπικοῖς· σημαίνει δὲ εὔνους, εὐμενής, πρόθυμος, ὡς ἐξηγεῖται ὑπ' αὐτοῦ τοῦ ποιητοῦ διὰ τοῦ ἑπομένου ἐθέλουσα.

[2] Ὁ μὲν Πτολεμαῖος ὁ Ὀροάνδου ἀνέγνω ἤνιν, ὁ δὲ Τυραννίων ὀξύνει τὴν πρώτην συλλαβήν, ὅπερ κρατεῖ παρὰ τοῖς πλείστοις τῶν ἐκδοτῶν. Σημαίνει δὲ βοῦν ἐνὸς ἔτους, ἐνιαύσιον, χρονιάρικον. Παράβαλλ. καὶ Ζ 94.

[3] Ἐπεξηγεῖται διὰ τῆς ἑπομένης ἀναφορικῆς προτάσεως.

[4] Ἐπειδὴ ἡ πρωΐα ἦτο ἐγγύς, τὰ πυρὰ τῶν Τρώων ἦσαν ἐσβεσμένα.

[5] Οἱ ἀρχαῖοι δικαίως ἐθαύμαζον τὸ κάλλος τοῦ χωρίου, ὡς ἀναγινώσκομεν παρ' Εὐσταθίῳ· «Ὅρα δὲ καὶ τὸ κάλλος τῆς φράσεως, ἐπισκιρτῶντος οἷον τοῦ ποιητοῦ καὶ τῇ τῶν κατασκόπων εὐψυχίᾳ συνεξορμῶντος καὶ μιμουμένου τὸ ἐκείνων εὐθαρσὲς καὶ εὐκίνητον». Ὁ Θεσπέσιος ποιητὴς περιέλαβεν ἐν ἑνὶ μόνῳ στίχῳ, ὅσα ὁ Ξενοφῶν λέγει διὰ πολλῶν ἐν Ἀγησιλ. ΙΙ, 12 «ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἤδὺ θεάσασθαι ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυρμένην, νεκροὺς δὲ κειμένους, ἀσπίδας δὲ πεπρισμένας, δόρατα παρατεθραυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαί, τὰ δ' ἐν τοῖς σώμασιν ἐμπεπηγότα».

[6] Αἰολικὸν ἀντὶ τοῦ ἅμα· ὁμοῦ συνεκάλει ὅλους τοὺς ἀρίστους. Οἱ ἀρχαῖοι παρετήρησαν, ὅτι ὁ μὲν Ἕκτωρ θορυβώδης καὶ ἀλαζὼν ὢν καλεῖ πάντας τοὺς ἀρίστους, οἱ δὲ Ἀχαιοὶ συνῆλθον ὀλίγοι.

ὅσσοι ἔσαν Τρώων ἡγήτορες ἠδὲ μέδοντες·
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν·
«Τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειεν [1]
δώρῳ ἔπι μεγάλῳ; μισθὸς δέ οἱ ἄρκιος [2] ἔσται.
δώσω γὰρ δίφρον τε δύω τ' ἐριαύχενας [3] ἵππους,
οἵ κεν ἄριστοι [4] ἔωσι θοῆς ἐπὶ νηυσὶν Ἀχαιῶν,
ὅστις κε τλαίῃ, οἵ τ' αὐτῷ κῦδος ἄροιτο [5],
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
ἦὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
φύξιν [6] βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσιν
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες [7] αἰνῷ.»
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ἦν [8] δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱός,
κήρυκος θείοιο [9], πολύχρυσος πολύχαλκος·
ὃς [10] δή τοι εἶδος μὲν ἔην κακός [11], ἀλλὰ ποδώκης·

[1] Ἰσοδυναμεῖ πρὸς τό, ὑπόσχοιτο καὶ τελέσειε.

[2] Ὁ μισθὸς δὲ θὰ ἦναι εἰς αὐτὸν ἱκανός, ἀρκετός, ὡς ἐν σ. 358. Σημειωτέον, ὅτι ὁ Buttmann ἑρμηνεύει ἀσφαλής, βέβαιος, ἀλλ' ἡ σημασία αὕτη δὲν ἁρμόζει ἐνταῦθα. Ὅρα Β 393.

[3] Ἔχοντας ὑψηλὸν καὶ ὑπερήφανον τράχηλον.

[4] Ὁ Ἕκτωρ ταῦτ' εἰπὼν δὲν ἐσκέφθη ἴσως, ὅτι ὑπισχνεῖται τοὺς ἵππους τοῦ Ἀχιλλέως· διότι οὗτοι ἦσαν οἱ ἄριστοι, ὡς ὁ ποιητὴς λέγει ἐν Β 770.

[5] Ἡ πρότασις αὕτη παρενετέθη μετά τινος ἐλευθερίας μεταξὺ τοῦ τλαίη καὶ τοῦ ἐντεῦθεν ἐξαρτωμένου ἀπαρεμφάτου.

[6] Ἀντὶ τοῦ φεῦξιν = φυγήν· Ἐντεῦθεν παράγεται τὸ φύξιμος ε 359 καὶ φύξηλις Ρ 143.

[7] Ὅρα ἐν στίχ. 98.

[8] Συνήθης τρόπος διηγήσεως παρ' Ὁμήρῳ, ὅστις ἄρχεται ἀπὸ ῥήματος ὑπαρκτικοῦ. Τὸ δὲ Δόλων ἐκ τοῦ δόλος παραγόμενον σημαίνει ἄνθρωπον δολερόν.

[9] Οἱ κήρυκες ἀλλαχοῦ λέγονται Διὸς ἄγγελοι Α 334 καὶ Διὶ φίλοι Θ 517.

[10] Ἡ ἀναφορικὴ ἀντωνυμία κεῖται δεικτικῶς, ὡς καὶ ἐν στίχ. 318 καὶ ἐν υ 291.

αὐτὰρ ὁ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν [1].
ὅς ῥα τότε Τρωσίν τε καὶ Ἕκτορι μῦθον ἔειπεν·
«Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο [2], καί μοι ὄμοσσον
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος [3] σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης.
τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές, ὄφρ ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην [4], ὅθι που μέλλουσιν ἄριστοι
βουλὰς βουλεύειν, ἢ φευγέμεν, ἠὲ μάχεσθαι.»
Ὣς φάθ', ὁ δ' ἐν χερσὶ σκῆπτρον λάβε καί οἱ ὄμοσσεν [5].
«Ἴστω νῦν Ζεὺς αὐτός, ἐρίγδουπος πόσις Ἥρης,
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται [6] ἄλλος
Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι [7].»

[1] Δύσμορφος καὶ οἰονεὶ Θερσίτης καὶ ὅμως ἤθελε νὰ ὀχῆται ἐπὶ τῶν ἵππων τοῦ Ἀχιλλέως.

[1] Ὁ Ζηνόδοτος ἔγραφε κασιγνήτοισι, ὅπερ εὐφυῶς ἐλέγχει ὁ Σχολιαστής· «παραιρεῖται δὲ τὸ πιθανὸν τοῦ ποιητοῦ· οὐ γὰρ μετὰ ἀρσένων αὐτὸν τεθραμμένον παρίστησιν, οἷς ἐξισούμενος ἂν εἰς ἀνδρείαν ἐτράπη. Τό τε παραχείμενον μάχεται· πῶς γὰρ ἔτι μόνος ἦν, εἰ πέντε ἦσαν;».

[2] Ὁ ὅρκος ἐγίνετο δι' ἐπαναστάσεως τοῦ σκήπτρου, περὶ οὗ ὅρα ἐν Α 233.

[3] Δὲν θὰ ἦμαι μάταιος, ἄχρηστος κατάσκοπος, οὐδὲ παρὰ τὴν προσδοκίαν σου. Τὸ ἀντίθετον εἶναι κατὰ δόξαν.

[4] Ὁ θρασύδειλος Δόλων λίαν τολμηρὰ ὑπ.σχνεῖται. Τὸ μέλλουσιν ὁ Σχολιαστὴς ἑρμηνεύει ἐοίκασι.

[5] Οἱ ἀρχαῖοι παρετήρησαν, ὅτι τοῦ αἰτήσαντος Δόλωνος μωρότερος εἶναι ὁ ὀμόσας Ἕκτωρ, ὅστις μεθ' ὅρκου ὑπισχνεῖται, ὡσεὶ ἐξεπόρθησε τὸ στρατόπεδον τῶν Ἀχαιῶν καὶ διένεμε τὰ λάφυρα.

[6] Ἐνταῦθα περιεμένομεν ἀπαρέμφατον, ὡς παρετήρησε καὶ ὁ Εὐστάθιος· «σολοικοφανὲς ἄλλως ὄν. Τὸ γὰρ κοινὸν οὕτω· ἴστω νῦν Ζεὺς μὴ δὴ αὐτοῖς ἄνδρα ἐποχήσεσθαι ἄλλον Τρώων».

[7] Ἐννοεῖται ἡ δοτική, τοῖς ἵπποις. Ὑπισχνοῦμαι, ὅτι σὺ πάν-

Ὣς φάτο καί ῥ' ἐπίορκον [1] ἐπώμοσε, τὸν δ' ὀρόθυνεν [2].
αὐτίκα δ' ἀμφ' ὤμοισιν ἐβάλλετο καμπύλα τόξα [3],
ἔσσατο δ' ἔκτοσθεν ῥινὸν πολιοῖο [4] λύκοιο,
κρατὶ δ' ἐπὶ [5] κτιδέην κυνέην, ἔλε δ' ὀξὺν ἄκοντα,
βῆ δ' ἰέναι προτὶ νῆας ἀπὸ στρατοῦ. οὐδ' ἄρ' ἔμελλεν [6]
ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποίσειν.
ἀλλ' ὅτε δή ῥ' ἵππων τε καὶ ἀνδρῶν κάλλιφ' ὅμιλον [7],
βῆ ῥ' ἀν' ὁδὸν μεμαώς [8]· τὸν δὲ φράσατο προσιόντα [9]
διογενὴς Ὀδυσεύς, Διομήδεα δὲ προσέειπεν·

τοτε θὰ χαίρῃς, θὰ αἰσθάνησαι τὴν χαρὰν διὰ τοὺς ἵππους.

[1] Ὁ ποιητὴς λέγει ἐπίορκον ἐπώμοσε, οὐχὶ διότι ἑκουσίως ἐγένετο ἐπίορκος, ἀλλ' ἕνεκα τοῦ ἀποτελέσματος, δηλ. ὁ ὅρκος διεψεύσθη ἐκ τοῦ ἀποτελέσματος. Ὑπὸ τοῦ Döderlein προτιμᾶται ἡ γραφὴ ἀπώμοσε, ἥτις δὲν ἁρμόζει ἐνταῦθα.

[2] Τοῦτον ὅμως παρώτρυνε, διήγειρεν.

[3] Οὐ μόνον οἱ λόγοι, ἀλλὰ καὶ ὁ ὁπλισμὸς τοῦ Δόλωνος δὲν δεικνύει πολλὴν σύνεσιν. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἄφρων ὡς μὴ καιόντων πῦρ πολεμίων τόξα ἔχει».

[4] Πολιὸν χρῶμα εἶναι τὸ τεφρῶδες, ἢ ἀσπρόμαυρον· τοιοῦτον δὲ χρῶμα δὲν ἥρμοζεν εἰς κατάσκοπον, ὡς λέγει ὁ Εὐστάθιος· «ἐπίτηδες καὶ αὐτὸ ὡς ἄφρονα, ἵνα καὶ δι' αὐτοῦ ὑπολεύκου ὄντος κατάφωρος ὁ ἀνόητος γένηται. Τεφρῶδες γὰρ τὸ χρῶμα τοῦ λύκου καὶ οὐ βαθὺ προβεβλημένον τὸ μέλαν». Τὸν δόλον μαρτυρεῖ οὐ μόνον τὸ ὄνομα τοῦ ἀνθρώπου, ἀλλὰ καὶ τὸ δέρμα, ὃ περιβάλλεται.

[5] Ἐκ τοῦ ἔσσατο πρέπει νὰ συμπληρώσωμεν διὰ τοῦ θέτο ἢ θήκατο. Ἐπὶ τῆς κεφαλῆς ἐφόρεσε περικεφαλαίαν ἐκ δέρματος ἰκτίδος, ἣν οἱ ἀρχαῖοι χαρακτηρίζουσιν οὕτωσί· «ἰκτὶς δέ ἐστι ζῷον ὀρνιθοφάγον καὶ πανοῦργον, μεῖζον μὲν γαλῆς καὶ δασύτερον, ἄλλως δὲ παραπλήσιον. Οἱ δὲ τὴν ἀγρίαν γαλῆν εἶπον». Καὶ τῶν νεωτέρων οἱ μὲν λέγουσιν, ὅτι εἶναι ἡ καλουμένη νυφίτσα, οἱ δὲ τὸ κουνάβι, ὅπερ φαίνεταί μοι πιθανώτερον.

[6] Προλέγει ὁ ποιητὴς τὰ μέλλοντα γενέσθαι, ὡς καὶ ἐν Β 36, Μ 3 καὶ 113 Ρ 497 καὶ πολλαχοῦ.

[7] Κατέλιπε τὸ πλῆθος.

[8] Δύναται νὰ ἐξηγηθῇ ἐπιρρηματικῶς, δρομαίως, ἐσπευσμένως.

[9] Τοῦτον ὅμως ἐνόησεν ὁ Ὀδυσ-

»Οὗτός[1] τις, Διόμηδες, ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ,
οὐκ οἶδ' ἢ νήεσσιν ἔπι σκοπὸς[2] ἠμετέρῃσιν,
ἦ τινα συλήσων[3] νεκύων κατατεθνηώτων.
ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο[4]
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν[5] ἐπαΐξαντες ἕλοιμεν
καρπαλίμως· εἰ δ' ἄμμε παραφθήῃσι[6] πόδεσσιν,
αἰεί μιν ἐπὶ νῆας[7] ἀπὸ στρατόφι προτιείλειν[8],
ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξῃ.«
Ὣς ἄρα φωνήσαντε[9] παρὲξ ὁδοῦ ἐν νεκύεσσιν

σεὺς προσερχόμενον. Ὁ Ὀδυσσεύς, ὡς πάντοτε, εἶναι προνοητικώτερος τοῦ Διομήδους.

[1] Ἡ ἀντωνυμία κεῖται ἐν τῇ σημασίᾳ ἐπιρρήματος δηλοῦντος τόπον, ἐκεῖ.

[2] Ὅρα στίχ. 38.

[3] Μόνον ἐνταῦθα καὶ ἐν στίχ. 387 συντάσσεται πρὸς αἰτιατικὴν προσώπου· ἀλλαχοῦ δὲ πρὸς αἰτιατικὴν πράγματος, ὡς τεύχεα, ἔντεα.

[4] Διὰ τῆς πεδιάδος, ἐν τῇ πεδιάδι· νὰ παρεξέλθῃ, νὰ προχωρήσῃ ὀλίγον εἰς τὴν πεδιάδα. Ἄλλοι θεωροῦσι τὴν γενικὴν ὡς συνταχτικὴν τοῦ τυτθόν.

[5] Ἄνευ ἐμφάσεως. Δυνάμεθα νὰ ζωγρήσωμεν αὐτὸν ταχέως ἐφορμήσαντες.

[6] Σχεδὸν πᾶσαι αἱ ἀρχαῖαι ἐκδόσεις εἶχον παραφθαίῃσι· ἐπειδὴ ὅμως τὸν τοιοῦτον τύπον τῆς εὐκτικῆς ὁ Ὅμηρος ἀγνοεῖ, οἱ πλεῖστοι ὡς ὁ La Roche, Franke, Dindof, Nauck καὶ ἄλλοι τρέπουσιν εἰς ὑποταχτικὴν παραφθήῃσι. Ἂν ὅμως ἐξεπεράσῃ ἡμᾶς διὰ τῆς ταχύτητος τῶν ποδῶν.

[7] Ἀντὶ τῆς Ἀριστάρχειου γραφῆς ἐπὶ νῆας τὰ χειρόγραφα ἔχουσιν ἢ ποτὶ ἢ προτί.

[8] Ἀπαρέμφατον ἀντὶ προστακτικῆς· πάντοτε στενοχώρει αὐτὸν νὰ τρέπηται μακρὰν τοῦ στρατοπέδου τῶν Τρώων πρὸς τὰ πλοῖα.

[9] Ὁ δυϊκὸς ἀριθμὸς φαίνεται παράδοξος· διότι μόνον ὁ Ὀδυσσεὺς εἶπεν. Ἀλλ' ἐπειδὴ ὁ Διομήδης σιωπηλῶς ἐδέξατο τὰ ὑπὸ τοῦ Ὀδυσσέως εἰρημένα, μετεχειρίσθη τὸν δυϊκόν, ὡς καὶ ἐν Φ 298 ἐν παραβολ. πρὸς 287. Σημειωτέον ὅμως, ὅτι ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους καὶ ἐν ἄλλαις ἑταίρως τὸ χωρίον ἐφέρετο, δηλ. «ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης· ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην». Τὸ παρὲξ ὁδοῦ σημαίνει μὲν ἐκτὸς τῆς ὁδοῦ, ἀλλὰ πλησίον αὐτῆς.

κλινθήτην [1]· ὁ δ' ἄρ' ὦκα παρέδραμεν ἀφραδίῃσιν [2]. 350
ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅσσον τ' ἐπὶ οὖρα [3] πέλονται
ἡμιόνων (αἱ γάρ [4] τε βοῶν προφερέστεραί εἰσιν
ἑλκέμεναι νειοῖο [5] βαθείης πηκτὸν ἄροτρον),
τῷ μὲν ἐπεδραμέτην [6], ὁ δ' ἄρ' ἔστη δοῦπον ἀκούσας.
ἔλπετο [7] γὰρ κατὰ θυμὸν ἀποστρέψοντας [8] ἑταίρους 355
ἐκ Τρώων [9] ἰέναι, πάλιν Ἕκτορος ὀτρύναντος.

[1] Μεταξὺ τῶν νεκρῶν κατεκλίθησαν οἱ ἥρωες, ὅπως ὑπὸ τοῦ Δόλωνος ὑπολη φθῶσιν ὡς νεκροί.

[2] Ἐξ ἀνοησίας, ἐξ ἀπροσεξίας.

[3] Τὸ οὖρον παράγεται ἐκ τῆς ῥίζης ὀρ, ἐξ ἧς καὶ τὸ ὄρνυμι καὶ ὀρίνω. Ὁ Σχολιαστὴς ἑρμηνεύει ὡς ἑξῆς· «Ἡλίκον ὁρμημα γίνεται τῶν ἡμιόνων τεμνόντων αὔλακα. Οὖρα τὰ ὅρια καὶ πέρατα τῆς αὔλακος, ἣν τὸ ὁρικὸν ζεῦγος τέμνει. Ἄλλως. Ὅσον ἀροτριῶσα ἡμίονος ὑπὸ μίαν ὁρμὴν ὑπογρέφειν δύναται, ὅ ἐστι πλέθρον». Ὁ Ἀρίσταρχος ὅμως ἄλλως ἐξήγει τὸ χωρίων νομίζων, ὅτι ὁ Δόλων ἀπεῖχε τῶν δύω ἡρώων, ὅσον ζεῦγος ἡμιόνων προλαμβάνει ζεῦγος βοῶν. Ἡ ἑρμηνεία ὅμως ἀπορρίπτεται ὑπὸ τῶν νεωτέρων.

[4] Διὰ τῆς παρενθέσεως ταύτης ἐξηγεῖ, διὰ τί εἶπεν οὖρα ἡμιόνων καὶ οὐχὶ οὖρα βοῶν. Προφερέστεραι δὲ σημαίνει ταχύτεραι, ἐπιτηδειότεραι εἰς τὸ νὰ τραβῶσι τὸ ἄροτρον.

[5] Νειὸς (ἡ) κατὰ τὸν Σχολιαστὴν εἶναι· «ἡ νεωστὶ ἠροτριασμένη γῆ». Τὸ ἄροτρον λέγεται πηκτὸν διότι εἶναι συνηρμοσμένον ἐκ πολλῶν τμημάτων ἐν ἀντιθέσει πρὸς τὸ αὐτόγυον, Ἡσίοδ. ἐν Ἔργ. 432· «δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον, αὐτόγυον καὶ πηκτόν».

[6] Ἔτρεξαν κατόπιν. Ὁ Σχολιαστὴς ὁρίζει τὴν σημασίαν τοῦ ῥήματος οὕτωσί· «τὸ μὲν ἐπιδραμεῖν τίθησιν, ὅτε οὐ γινώσκει ὁ διωκόμενος, ὅτε δὲ γινώσκει, διώκειν καὶ διῶξαι».

[7] Συνήθως ἑρμηνεύεται, εἴκαζεν, ἐπίστευεν· ἀλλ' ἡ κυρία σημασία εἰκονίζει ἐπιτυχέστερον τὸ θρασύδειλον τοῦ ἄφρονος κατασκόπου.

[8] Ἐννοεῖται τὸ ἀντικείμενον αὐτόν.

[9] Ἐκ τοῦ Τρωϊκοῦ στρατοπέδου. Τὸ ἀντικείμενον τῆς ἐλπίδος τοῦ Δόλωνος κεῖται οὐχὶ ἐν τῷ ἰέναι, ἀλλ' ἐν τῷ ἑταίρους ἀποστρέψοντας. Σημειωτέον, ὅτι οἱ ἀρχαῖοι ἔστιζον μετὰ τὴν λέξιν Τρώων, ὡς λέγει ὁ Σχολιαστής· «Στικτέον μετὰ τὸ ἐκ Τρώων· ἔστι γὰρ ὁ λόγος, ἤλπιζε

ἀλλ' ὅτε δή ῥ' ἄπεσαν δουρηνεκὲς [1] ἦ καὶ ἔλασσον,
γνῶ ῥ' ἄνδρας δηΐους [2], λαιψηρὰ δὲ γούνατ' ἐνώμα
φευγέμεναι· τοὶ δ' αἶψα διώκειν [3] ὁρμήθησαν.
ὡς δ' ὅτε καρχαρόδοντε [4] δύω κύνε, εἰδότε θήρης, 360
ἢ κεμάδ' [5] ἠὲ λαγωὸν ἐπείγετον [6] ἐμμενὲς αἰεί
χῶρον ἀν' ὑλήενθ', ὁ [7] δέ τε προθέῃσι μεμηκώς,
ὡς τόν Τυδείδης ἠδὲ πτολίπορθος Ὀδυσσεύς
λαοῦ [8] ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήσεσθαι φυλάκεσσιν 365

γὰρ ὁ Δόλων ἑταίρους αὐτοῦ ἐκ τῶν Τρώων ὑπάρχειν ὡς κελεύσαντος εἰς τοὐπίσω αὐτὸν ὑποστρέψαι». Τὴν στίξιν ταύτην δέχεται καὶ ὁ Döderlein. Ὁ Δόλων ἤλπισεν, ὅτι ὁ Ἕκτωρ ἔδωκεν ἀντίθετον διαταγήν.

[1] Ἐκ τῆς ῥίζης ἐνσκ (ἠνέχθην). Μέχρι βολῆς δόρατος, Φ 251· «Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωή».

[2] Ἐγνώρισεν, ὡς ἦτο ἐπόμενον, ὅτι οἱ ἄνδρες εἶναι πολέμιοι. Τὸ δὲ λαιψηρὰ κεῖται κατὰ πρόληψιν, ὡς ἐν Χ 144 καὶ ἐν Ο 269.

[3] Μετ' ἐμφάσεως προετάχθη τοῦ κυρίου ῥήματος ἐν ἀντιθέσει πρὸς τὸ φευγέμεναι.

[4] Τὸ ἐπίθετον εἶναι σύνθετον ἐκ τοῦ κάρχαρος (=τραχὺς) καὶ ὀδούς. Οὕτω λέγεται ὁ ἔχων σκληροὺς ὀδόντας. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Νῦν μὲν κυσὶν αὐτοὺς εἰκάζει διὰ τὸ ἀγρευτικόν, πρότερον δὲ λέουσι διὰ τὸ εὐσταθές».

[5] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «νεογνὸν ἔλαφον ἢ δορκάδα». Κατὰ τὸν Ἀριστοτέλη εἶναι ἡ διετὴς ἔλαφος. Ὁ Ὅμηρος ἀγνοεῖ τὸν τύπον λαγώς.

[6] Εἶναι ὑποταχτικῆς, ὡς καὶ τὸ προθέῃσι ἀντὶ ἐπείγητον· ἢ λαγὸν καταδιώκωσι πάντοτε ἀδιαλείπτως.

[7] Ἀναφέρεται εἰς τὸν λαγώον, διότι τὸ κεμὰς εἶναι γένους θηλυκοῦ. Τὸ δὲ μεμηκὼς εἶναι μὲν παρακείμενος, ἀλλ' ἔχει σημασίαν ἐνεστῶτος. Ὁ Εὐστάθιος παρατηρεῖ· «ὑποτρίζειν τινὲς ἠρμηνεύκασι. Καὶ ἔστι μίμημα φωνῆς οὐ μόνον αἰγῶν, ὡς πολλαχοῦ φαίνεται, ἀλλὰ καὶ ἐλάφου συλληπτικῶς καὶ λαγωοῦ, ἣν ἀφίησιν οἷον κλαυθμόν τινα, ὅταν διωκόμενος κατάληπτος γίνηται».

[8] Ἀποχωρίσαντες τοῦ λαοῦ τῶν Τρώων. Τὸ διώκετον εἶναι ἀνώμαλος σχηματισμὸς ἀντὶ ἐδιωκέτην. Τοιαῦτα ὑπάρχουσι παρὰ τῷ ποιητῇ καὶ τὸ ἐτεύχετον ἐν Ν 346 καὶ λαφύσσετον ἐν Σ 583.

φεύγων ἐς νῆας, τότε δὴ μένος ἔμβαλ' Ἀθήνη
Τυδείδῃ, ἵνα μή τις Ἀχαιῶν [1] χαλκοχιτώνων
φθαίη ἐπευξάμενος [2] βαλέειν, ὁ δὲ δεύτερος ἔλθοι.
δουρὶ δ' ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·

«Ἠὲ μέν', ἠέ σε δουρὶ κιχήσομαι, οὐδέ σέ φημι
δηρὸν ἐμῆς ἀπὸ χειρὸς [3] ἀλύξειν αἰπὺν ὄλεθρον·»

Ἦ ῥα καὶ ἔγχος ἀφῆκεν, ἑκὼν [4] δ' ἡμάρτανε φωτός.
δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐΰξου [5] δουρὸς ἀκωκή
ἐν γαίῃ ἐπάγη· ὁ δ' ἄρ' ἔστη τάρβησέν τε
βαμβαίνων [6] (ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων)
χλωρὸς [7] ὑπαὶ δείους. τὼ δ' ἀσθμαίνοντε κιχήτην,

[1] Ἐννοεῖ τῶν φυλάκων, ὡς γίνεται δῆλον ἐν στίχ. 365.

[2] Μήπως προλάβῃ κανεὶς νὰ κτυπήσῃ αὐτὸν καυχηθείς. Τὸ δεύτερος σημαίνει πολὺ ἀργά, ὡς ἐν Χ 207. Κατὰ τὸν Σχολιαστὴν ἡ μεταφορὰ ἐλήφθη ἀπὸ τῶν ὁρομέων.

[3] Ἐν τῷ πεζῷ λόγῳ ἤθελεν εἶναι, τὸν ἀπὸ χειρὸς ἐμῆς ὄλεθρον.

[4] Ἑκουσίως ὁ Διομήδης δὲν ἐκτύπησε τὸν Δόλωνα, διότι ἤθελε νὰ ζωγρήσῃ αὐτὸν καὶ μάθῃ τὰ κατὰ τοὺς Τρῶας.

[5] Συνῃρημένον ἀντὶ ἐϋξόου, καλῶς ἐξεσμένου δόρατος. Μόνον ἐνταῦθα τὸ ἐπίθετον προσδιορίζει τὸ δόρυ.

[6] Παρὰ τῷ Σχολιαστῇ εὑρίσκομεν τρεῖς ἑρμηνείας· «τρέμων καὶ μετὰ σφαλμοῦ τὴν πορείαν ποιούμενος, ἐκ δὲ τούτου ἀνάνδρως κινούμενος. Οἱ δὲ ἐσχημάτισαν ἀπὸ τοῦ γινομένου κατὰ τὸ στόμα ψόφου, συρρήσων καὶ συγκρούων τοὺς ὀδόντας. Ἢ ἀσαφῆ φωνὴν προϊέμενος ὑπὸ τοῦ φόβου, βαμβαλίζων, ὅπερ ἡμεῖς φαμεν». Ἐκ τῶν νεωτέρων οἱ μὲν δέχονται ταύτην, οἱ δὲ ἐκείνην τὴν ἑρμηνείαν. Πιθανωτέρα ὅμως φαίνεται ἡμῖν ἡ τελευταία. Ὁ Doederlein θεωρεῖ τὸ ῥῆμα ὡς ἐφετικὸν τοῦ βάζειν κατ' ἀναλογίαν τοῦ παμφαίνειν· δηλ. ὁ Δόλων ἤθελε νὰ ὁμιλήσῃ, ἀλλὰ δὲν ἠδύνατο ὀρθῶς, ἤτοι ἐψέλλιζεν, ἐψεύδιζεν. Πρὸς τὴν ἑρμηνείαν ταύτην συμφωνεῖ καὶ τὸ παρὰ Μόσχ. IV, 8 «βαμβαίνει μὲν γλῶσσα» καὶ ἐν Ἀνθολ. Παλ. V 273 «χείλεα βαμβαίνει γθέγματι γηραλέῳ». Τὸ δὲ ἄραβος παραγόμενον ἐκ τοῦ ἀράσσω, σημαίνει τὸν κρότον, τὸν τριγμὸν τῶν ὀδόντων.

[7] Πρασινωπός, ὠχρός, χλωμός

χειρῶν [1] δ' ἀψάσθην· ὁ δὲ δακρύσας ἔπος ηὔδα·
»Ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον [2]
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κ' ὔμμιν χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα, 380
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν.»
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
«Θάρσει [3], μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατέλεξον·
πῇ δὴ οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἷος 385
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
[ἦ τινα συλήσων νεκύων κατατεθνηώτων [4];]
ἦ σ' Ἕκτωρ προέηκε διασκοπιᾶσθαι [5] ἕκαστα
νῆας ἔπι γλαφυράς; ἦ σ' αὐτὸν θυμὸς ἀνῆκεν [6];»
Τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, υἱὸς δ' ἔτρεμε γυῖα [7]· 390
«Πολλῇσίν μ' ἄτῃσι [8] παρὲκ νόον ἤγαγεν Ἕκτωρ,

[1] Ὁ Döderlein εἰκάζει, ὅτι πρέπει νὰ γραφῇ χ ε ρ ο ῖ ν, ὅπερ ἤθελεν εἶναι δοτικὴ ὀργανική· ἡ εἰκασία δὲν φαίνεται ἀτυχής.

[2] Δηλαδὴ ἐν οἴκῳ.

[3] Ἔχε θάρρος καὶ μὴ συλλογίζου κατά τι τὸν θάνατον.

[4] Οἱ Ἀλεξανδρινοὶ ἠθέτουν τὸν στίχον, ὡς ἀναγινώσκομεν παρὰ τῷ Σχολιαστῇ· «Ἡ διπλῆ, ὅτι ἐκ τῶν ἐπάνω (343) ὧδε μετάκειται ἤδη παρελήλυθότων αὐτῶν τοὺς νεκρούς. Καὶ ὁ Ὀδυσσεὺς ἀσύνετος ἔσται πρόφασιν αὐτῷ πορίζων. Ἠθέτει καὶ Ἀριστοφάνης». Ὑπὸ τῶν νεωτέρων ἐπιδοκιμάζεται ἡ ἀθέτησις.

[5] Ὁ Ἕκτωρ ἔπεμψεν, ἵνα κατασκοπεύῃς ἕκαστα.

[6] Ἐκ τοῦ προηγουμένου στίχου ἐννοεῖται τὸ ἀπαρέμφατον δ ι α σ κ ο π ι ᾶ σ θ α ι. Αἱ πολλαὶ ἐρωτήσεις ἔχουσί τι γοργὸν διὰ τὸ κατεπεῖγον τοῦ καιροῦ.

[7] Τὸ γυῖα δύναται νὰ θεωρηθῇ ἢ ὡς ὑποκείμενον τοῦ ἔτρεμε ἢ ὡς αἰτιατικὴ τοῦ κ α τ ά τ ι.

[8] Ἄτας λέγει ἐνταῦθα ὁ ποιητὴς τὰς ἐπὶ κακῷ ὑποσχέσεις. Ὁ Εὐστάθιος ἑρμηνεύει τὸ χωρίον οὕτωσί· «Παρεξήγαγέ με τοῦ λογισμοῦ βλαπτικαῖς ὑποσχέσεσι». Ἄλλοι ἑρμηνεύουσι πρὸς μεγάλην δυστυχίαν, ἀλλ' ὁ La Roche παρατηρεῖ, ὅτι ἐν τοιαύτῃ περιστάσει ὁ ποιητὴς ἔπρεπε νὰ μεταχειρισθῇ τὸν ἐνικὸν ἀριθμόν. Τὸ π α ρ ὲ κ συναπτέον μετὰ τοῦ ἤ γ α-

ὅς μοι Πηλείωνος ἀγαυοῦ μώνυχας ἵππους
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῷ,
ἠνώγει δέ μ' ἰόντα θοὴν [1] διὰ νύκτα μέλαιναν
ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι,
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύοιτε μετὰ σφίσιν [2], οὐδ' ἐθέλοιτε
νύκτα φυλασσέμεναι καμάτῳ ἀδηκότες αἰνῷ.»

Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
«Ἦ ῥά νύ [3] τοι μεγάλων δώρων ἐπεμαίετο θυμός,
ἵππων Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοί [4]
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
ποῦ νῦν [5] δεῦρο κιὼν λίπες Ἕκτορα, ποιμένα λαῶν;
ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι [6];
πῶς δαί [7] τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;»

γε, δηλ. παρεξήγαγε. Εἶναι δὲ σχῆμα καθ' ὅλον καὶ μέρος.

[1] Ἡ νὺξ λέγεται θοὴ ἢ διότι μετὰ τὴν δύσιν τοῦ ἡλίου ταχέως ἐπέρχεται ἢ διότι ταχέως παρέρχεται.

[2] Ἀντὶ τοῦ σφίσιν περιεμένομεν ὑμῖν· τούτου ἕνεκεν οἱ Ἀλεξανδρινοὶ τοὺς στίχους 397—399 ἐθεώρουν νόθους. Ὁ Ἀρίσταρχος ὅμως κατὰ τὸ σφίσιν ἔγραφε βουλεύουσι καὶ ἐθέλουσι, ὅπερ δέχονται πολλοὶ τῶν νεωτέρων, ὡς ὁ La Roche, ὁ Bekker, ὁ Düntzer καὶ ἄλλοι.

[3] Εἰρωνικῶς, ὡς νομίζω. Τὸ ἐπιμαίεσθαι ἐνταῦθα κεῖται ἐν μεταφορικῇ σημασίᾳ, δηλ. ἐφίεσθαι, ἐπιθυμεῖν.

[4] Ἡ σύνταξις ἐγένετο προσωπικὴ ὡς ἐν Α 546· ὁ ποιητὴς ἠδύνατο νὰ εἴπῃ, ἀλεγεινόν ἐστιν αὐτοὺς δαμήμεναι.

[5] Τὸ νῦν ὁρίζεται ἀκριβέστερον διὰ τοῦ δεῦρο κιών.

[6] Εἶναι ζεῦγμα, διότι ἐκ τοῦ κεῖται πρέπει νὰ νοήσωμεν ἄλλο ῥῆμα, ὡς καὶ ἐν Γ 327.

[7] Ἡ κοινὴ γραφὴ εἶναι πῶς δ' αἱ, ἀλλ' ὁ Ἀρίσταρχος ἔγραφε πῶς δαί, ὅπερ δέχονται οἱ

[ἅσσα [1] τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς.]»

Τὸν δ' αὖτε προσέειπε Δόλων, Εὐμήδεος υἱός·
«Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως κατελέξω.
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσίν,
βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου [2],
νόσφιν ἀπὸ φλοίσβου [3]· φυλακὰς δ' ἂς εἴρεαι, ἥρως,
οὔ τις [4] κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
ὅσσαι γὰρ [5] Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
αἱ δ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
ἀλλήλοις. ἀτὰρ αὖτε πολύκλητοι [6] ἐπίκουροι
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι [7] φυλάσσειν·

πλεῖσται τῶν νεωτέρων. Ἐνταῦθα ἐννοεῖται τὸ εἰσίν.

[1] Οἱ ἑπόμενοι τρεῖς στίχοι μετηνέχθησαν ἐνταῦθα ἐκ τοῦ λόγου τοῦ Νέστορος (στίχ. 208—210) κατὰ τὴν κρίσιν τῶν Ἀλεξανδρινῶν, οἵτινες ἀθετοῦσι τούτους. Τοῦτο δὲν εἶναι ἴσως ἀπίθανον, διότι καὶ ὁ Δόλων δὲν ἀποκρίνεται πρὸς ταῦτα.

[2] Ὁ Ἴλος εἶναι υἱὸς τοῦ Τρωός, ἐξ οὗ ἐκλήθη ἡ πόλις Ἴλιος. Τὸ δὲ σῆμα τούτου ἔκειτο ἐν τῷ μέσῳ τῆς πεδιάδος, μεταξὺ τῆς πόλεως καὶ τοῦ Σκαμάνδρου. Ὅρα Λ 166, 371 καὶ Ω 349.

[3] Μακρὰν τῆς τύρβης τῶν ἀνθρώπων, ὡς ἐν Ε 322. Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἑρμηνεύει· «Περὶ δὲ τῶν φυλακῶν, ὧν ἐρωτᾷς».

[4] Δηλαδὴ φυλακή.

[5] Ἡ κοινὴ γραφὴ εἶναι μέν, ἀλλὰ τὰ κρείττονα τὰ χειρογράφων ἔχουσι γάρ, ὅπερ προτιμῶσι σπουδαῖοι κριτικοί. Τὸ πυρὸς ἐσχάραι ἰσοδυναμεῖ πρὸς τὸ πυραί. Ἡ ἔννοια τοῦ χωρίου εἶναι ἥδε· πανταχοῦ ὅπου ἀνήφθησαν πυραί, ἐκεῖ φρουροῦσι Τρῶες, τοὺς ὁποίους πρὸς τοῦτο ἡ ἀνάγκη βιάζει.

[6] Ἐκ πολλῶν μερῶν κεκλημένοι. Ἀλλαχοῦ λέγονται κλειτοί, ἀγακλειτοί, τηλεκλειτοί.

[7] Ἔχει ἐντονωτέραν σημασίαν τοῦ ἐπιτρέπω κατὰ τὸν Ameis. Ὁ Doederlein ὅμως εἴκασεν, ἐπιτροπέουσι, ὅπερ δέχεται ὁ Düntzer. Τὸ δὲ φυλάσσειν κεῖται ἀμεταβάτως, ὁηλ. ἰσοδυναμεῖ πρὸς τὸ φυλακὴν ἔχειν.

οὐ γάρ σφιν παῖδες σχεδὸν εἴαται οὐδὲ γυναῖκες.»
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
«Πῶς γὰρ νῦν [1], Τρώεσσι μεμιγμένοι ἱπποδάμοισιν
εὕδουσ' [2], ἢ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαείω.» 425
Τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, Εὐμήδεος υἱός·
«Τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
πρὸς μὲν ἁλὸς [3] Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
καὶ Λέλεγες [4] καὶ Καύκωνες δῖοί τε Πελασγοί.
πρὸς Θύμβρης [5] δ' ἔλαχον Λύκιοι Μυσοί τ' ἀγέρωχοι 430
καὶ Φρύγες ἱππόδαμοι [6] καὶ Μῄονες ἱπποκορυσταί.
ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων [7] καταδῦναι ὅμιλον,
Θρῄϊκες οἵδ' [8] ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·

[1] Ζωηρὰ ἐρώτησις, ἧς τὸ γενικὸν ἐπεξηγεῖται διὰ τῶν ἑπομένων, ὡς ἐν Α 123.

[2] Τὸ ὑποκείμενον ἐννοεῖται, οἱ ἐπίκουροι.

[3] Πρὸς τὸ μέρος τῆς θαλάσσης. Κατὰ τὸν Σχολιαστήν. «Προσληπτέον δὲ τὸ ἔλαχον διατελεῖν». Περὶ μὲν τῶν Καρῶν ὅρα ἐν Β 867, περὶ δὲ τῶν Παιόνων ἐν Β 848.

[4] Οἱ μὲν Λέλεγες κατῴκουν περὶ τὴν Πήδασον καὶ Λυρνησσὸν Υ 96 καὶ Φ 86, οἱ δὲ Καύκωνες λέγονται γένος Πελασγικόν. Οὔτε οἱ μέν, οὔτε οἱ δὲ μνημονεύονται ἐν τῷ καταλόγῳ τῶν Τρώων. Περὶ τῶν Πελασγῶν ὅρα ἐν Β 840.

[5] Θύμβρα εἶναι τόπος τῆς Τροίας, ὅπου ὑπῆρχε καὶ ἐπιφανὲς ἱερὸν τοῦ Θυμβραίου Ἀπόλλωνος. Ὑπῆρχε καὶ ποταμὸς Θύμβριος· ὁ δὲ Εὐστάθιος λέγει· «ὅτι δὲ καὶ Ῥώμης ποταμὸς Θύμβριος ὁ καὶ Τίβερις». Περὶ τῶν Μυσῶν ὅρα Β 858.

[6] Σχεδὸν πάντα τὰ χειρόγραφα ἔχουσιν ἱππόδαμοι, ἀλλ' ὁ Ἀρίσταρχος ἔγραφεν ἱππόμαχοι. Ἄξιον σημειώσεως, ὅτι ἐφ' Ὁμήρου ἤδη διακρίνεται τὸ Λυδικὸν ἱππικόν. Γνωστὴ δὲ εἶναι ἡ παροιμία, παρὰ Λύδιον ἄρμα ἐπὶ τῶν πολὺ ὀπίσω λειπομένων. Μαιονία δὲ εἶναι τὸ ἀρχαῖον ὄνομα τῆς Λυδίας, Γ 402.

[7] Ἐννοεῖ τοὺς Τρῶας μετὰ τῶν συμμάχων. Τοῦτο εἰκάζει ἐκ τῶν ἐρωτήσεων τῶν δύω ἡρώων.

[8] Ἐδῶ εἶναι οἱ Τρῶες. Τὸ

ἐν δέ σφιν Ῥῆσος [1] βασιλεύς, πάϊς Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους [2] ἴδον ἠδὲ μεγίστους·
λευκότεροι [3] χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.
ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται [4].
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα ἰδέσθαι,
ἦλυθ' ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
ἄνδρεσσιν φορέειν, ἀλλ' ἀθανάτοισι θεοῖσιν.
ἀλλ' ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
ἠέ με δήσαντες λίπετ' αὐτόθι [5] νηλέϊ δεσμῷ,
ὄφρα κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
ἠὲ κατ' αἶσαν ἔειπον ἐν ὑμῖν [6], ἠὲ καὶ οὐχί.»

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
«Μη δή μοι [7] φύξιν γε, Δόλων, ἐμβάλλεο θυμῷ,
ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἴκεο χεῖρας ἐς ἁμάς [8].

νέηλυς σύνθετον ὂν ἐκ τοῦ νέος καὶ ἦλυθον σημαίνει τὸν νεωστὶ ἐλθόντα, τὸν νεοφερμένον.

[1] Ὁ Ῥῆσος ὑπὸ τῶν μεταγενεστέρων ἐλέγετο υἱὸς τοῦ Στρυμόνος καὶ τῆς Μούσης Εὐτέρπης. Εἰς τοῦτον ὑπῆρχε χρησμός, ὅτι ἔμελλε νὰ ἦναι ἀκαταμάχητος, ἂν αὐτὸς καὶ οἱ ἵπποι ἔπινον ἐκ τοῦ ὕδατος τοῦ Σκαμάνδρου.

[2] Εἶναι σύμπτυξις δύω προτάσεων ἀντὶ τοῦ, ἵπποι κάλλιστοί εἰσι, οὓς εἶδον.

[3] Δὲν ἔχομεν ἀνάγκην νὰ ἐννοήσωμεν τὸ εἰσί, διότι εἶναι ὀνομαστικὴ ἐπιφωνήσεως, ὡς ἐν λ 606.

[4] Τὸ δὲ ἅρμα αὐτοῦ εἶναι τεχνηέντως ἐξειργασμένον, κεκοσμημένον.

[5] Ἐν τῷ αὐτῷ τόπῳ, ἐν ᾧ εὑρίσκεται. Ὁ Δόλων ἤλπιζεν, ὅτι δὲν θέλει φονευθῆ διὰ τὴν ὑπόσχεσιν τοῦ Ὀδυσσέως ἐν στίχ. 383. Μόνον ἐνταῦθα ὁ δεσμὸς λέγεται νηλεής, ἀλλαχοῦ δὲ κρατερός, ἀργαλέος, θυμαλγής, ὀλοός, ἄρρηκτος καὶ ἄλυτος.

[6] Ἐνώπιον ὑμῶν.

[7] Εἶναι ἠθικὴ δοτική. Φαίνεται παράδοξον, ὅτι ὁ Διομήδης γινώσκει τὸ ὄνομα τοῦ Δόλωνος, ἐν ᾧ κατὰ τὴν περιγραφὴν τοῦ ποιητοῦ δὲν ἐγένετο γνωστὸν τούτῳ· διό τινες τῶν ἀρχαίων ἀνέγνωσαν δολῶν. Ἀλλὰ τὸ ὄνομα γινώσκει καὶ ὁ Ὀδυσσεὺς ἐν στίχ. 478.

[8] Ἁμάς=ἡμετέρας.

εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν [1] ἠὲ μεθῶμεν,
ἦ τε καὶ ὕστερον εἶσθα [2] θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
ἠὲ διοπτεύσων [3], ἢ ἐναντίβιον πολεμίξων·
εἰ δέ κ' ἐμῆς ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,
οὐκέτ' ἔπειτα σὺ πῆμά ποτ' ἔσσεαι Ἀργείοισιν.»

Ἦ καὶ ὁ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ [4]
ἀψάμενος λίσσεσθαι, ὁ δ' αὐχένα μέσσον ἔλασσεν
φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἄμφω κέρσε τένοντε [5]·
φθεγγομένου [6] δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἔλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
καὶ τά γ' Ἀθηναίη ληΐτιδι [7] δῖος Ὀδυσσεύς
ὑψόσ' ἀνέσχεθε [8] χειρὶ καὶ εὐχόμενος ἔπος ηὔδα·

«Χαῖρε, θεά, τοίσδεσσι· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιβωσόμεθα [9]· ἀλλὰ καὶ αὖτις

[1] Κατὰ τὸν Εὐστάθιον· «Δηλοῖ δὲ τό, λύτρα λαβόντες ἀφήσομεν. Καὶ οὕτω διαφέρει τὸ λῦσαι τοῦ ἁπλῶς ἀφεῖναι δωρεὰν ἤτοι μεθεῖναι καθ' Ὅμηρον».

[2] Ἀντὶ εἷς, ὅπερ ἔχει μελλοντικὴν σημασίαν· θὰ ἔλθῃς βραδύτερον ἐναντίον τῶν πλοίων τῶν Ἀχαιῶν.

[3] Διὰ νὰ κατασκοπεύσῃς.

[4] Ἡ παχεῖα χεὶρ δὲν δηλοῖ πάντοτε ἀνδρείαν.

[5] Ἀπέκοψεν ἀμφοτέρους τοὺς τένοντας. Κατὰ δὲ τὸν Εὐστάθιον· «Τένοντες δὲ καὶ ἐνταῦθα τὰ ὄπισθεν τοῦ τραχήλου παχέα νεῦρα».

[6] Πάντα τὰ χειρόγραφα ἔχουσι φθεγγομένου, ἀλλ' ὁ Ἀριστοτέλης ἔγραφε φθεγγομένη, ὅπερ δὲν γίνεται δεκτόν. Εὐφυῶς λέγει ὁ Σχολιαστής· «Ἅμα τῷ ἄρξασθαι φωνὴν ἀφεῖναι, πρὶν σαφηνισθῆναι τὸ λεγόμενον· καὶ ἀνῆλθε μὲν τὸ πνεῦμα μέχρι τοῦ στόματος, καὶ τὸν τόπον ὅλον πληρῶσαν ἐξεχύθη τῇ τμήσει τῆς κεφαλῆς, ὡς εἰ καὶ σωληνά τινες μεστὸν ὕδατος διατέμοιεν, ἡ μὲν τῆς ἐπεισροῆς φορὰ εἴργεται, τὸ δὲ ἤδη διελθὸν ἐκχεῖται».

[7] Εἶναι ἡ λαφυραγωγός, ἡ λαφυροδότις. Ἡ αὐτὴ θεὰ ἀλλαχοῦ λέγεται ἀγελείη.

[8] Τοῦτο εἶναι συμβολικὴ πρᾶξις τῆς ἀναθέσεως τῶν λαφύρων τῇ Ἀθηνᾷ.

[9] Ἐπιβοησόμεθα, θὰ ἐπικαλεσθῶμεν εἰς βοήθειαν, ὡς α 378

πέμψον ἐπὶ Θρηκῶν ἀνδρῶν ἵππους [1] τε καὶ εὐνάς.»
Ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕθεν ὑψόσ' ἀείρας
θῆκεν ἀνὰ μυρίκην [2]· δέελον δ' ἐπὶ σῆμά τ' ἔθηκεν,
συμμάρψας [3] δόνακας μυρίκης τ' ἐριθηλέας ὄζους,
μὴ λάθοι [4] αὖτις ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
τὼ δὲ βάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα.
αἶψα δ' ἐπὶ Θρηκῶν ἀνδρῶν τέλος [5] ἶξον ἰόντες.
οἱ δ' εὗδον καμάτῳ ἀδηκότες [6], ἔντεα δέ σφιν
καλὰ παρ' αὐτοῖσι χθονὶ κέκλιτο, εὖ κατὰ κόσμον,
τριστοιχί [7]· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι.
Ῥῆσος δ' ἐν μέσῳ εὗδε, παρ' αὐτῷ δ' ὠκέες ἵπποι
ἐξ ἐπιδιφριάδος [8] πυμάτης ἱμᾶσι δέδεντο.

καὶ β 143. Αὕτη εἶναι ἡ γραφὴ τῶν χειρογράφων, ὁ Ἀρίσταρχος ὅμως ἔγραφεν, ἐπιδωσόμεθα ἐξηγῶν δώροις τιμήσομεν. Ἀλλ' οὔτε τὸ ἐπιδίδωμι, οὔτε ὁ μέσος τύπος τοῦ ῥήματος ἐν τῇ προκειμένῃ περιστάσει ἁρμόζει. Πρὸς τούτοις καὶ ἡ σύνταξις ἔπρεπε νὰ ἦναι διάφορος, διότι τὸ ἐπιδίδομαι θεοὺς ἔχει ἄλλην σημασίαν.

[1] Προτάσσει τοὺς ἵππους, διότι κατὰ τὴν περιγραφὴν τοῦ Δόλωνος ἦσαν κάλλιστοι.

[2] Θαμνώδες φυτὸν φυόμενον κατ' ἐξοχὴν ἐν βαλτώδεσι τόποις. Τὸ δέελος συνήθως θεωρεῖται ὡς ταὐτὸν τῷ δῆλος, ἀλλ' ὁ Ἡσύχιος λέγει· «δέελος· δεσμός, ἄμμα». Τὴν σημασίαν ταύτην δέχεται ὁ Duentzer ἐξηγῶν διὰ τῆς λέξεως φάκελος.

[3] Συναρπάσας, ταχέως συλλαβών. Περὶ τῶν δονάκων ὁ Εὐστάθιος λέγει· «Δόνακες δὲ εἶδος καλάμου, λεπτοὶ καλαμίσκοι, οὓς οἱ μεθ' Ὅμηρον καλοῦσι δονάκια παρὰ τὸ ῥᾷον δονεῖσθαι».

[4] Τὸ ὑποκείμενον λείπει, δηλ. ἡ πανοπλία τοῦ Δόλωνος.

[5] Ἡ λέξις ἔχει πολλὰς σημασίας, ἐνταῦθα δὲ σημαίνει τὸ τάγμα.

[6] Ὅρα ἐν στίχ. 98.

[7] Εἰς τρεῖς τάξεις, εἰς τρεῖς σειράς. Ἀνάλογον εἶναι τὸ μεταστοιχὶ ἐν Ψ 358. Τὰ μὲν ἄλλα τῶν Θρᾳκῶν ἐπαινοῦνται, ψέγεται δὲ τοῦτο, ὅτι ἀφυλάκτως ὑπνοῦσιν.

[8] Ἐπιδιφριὰς σημαίνει, ὅ τι καὶ ἡ ἄντυξ, ἤτοι ὁ γύρος τοῦ δίφρου. Κατὰ τὸν Σχολιαστὴν ἔχει ἄλλην σημασίαν· «Ἐπιδι-

τὸν δ' Ὀδυσσεὺς προπάροιθεν [1] ἰδὼν Διομήδεϊ δεῖξεν·
«Οὗτός τοι, Διόμηδες, ἀνήρ, οὗτοι [2] δέ τοι ἵπποι,
οὓς νῶϊν πίφαυσκε [3] Δόλων, ὃν ἐπέφνομεν ἡμεῖς.
ἀλλ' ἄγε δή, πρόφερε [4] κρατερὸν μένος· οὐδέ τί σε χρή
ἑστάμεναι μέλεον [5] σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους·
ἠὲ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι.»
Ὣς φάτο, τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη,
κτεῖνε δ' ἐπιστροφάδην [6], τῶν δὲ στόνος ὦρνυτ' ἀεικὴς
ἄορι θεινομένων [7], ἐρυθαίνετο δ' αἵματι γαῖα.
ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν [8] ἐπελθών,
αἶγεσιν ἢ ὀΐεσσι, κακὰ φρονέων ἐνορούσῃ,
ὡς μὲν [9] Θρῄϊκας ἄνδρας ἐπώχετο Τυδέος υἱός,
ὄφρα δυώδεκ' ἔπεφνεν· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
ὅντινα Τυδείδης ἄορι πλήξειε [10] παραστάς,
τὸν δ Ὀδυσευς μετόπισθε λαβὼν ποδὸς [11] ἐξερύσασκεν,
τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖς ἀμβαίνοντες· ἀήθεσσον [12] γὰρ ἔτ' αὐτῶν.

φριὰς μέρος τοῦ δίφρου, καθ' ὃ ἐπιβαίνειν εἰώθασιν».

[1] Χρονικῶς, δηλ. πρότερον ἢ ὁ Διομήδης.

[2] Ἡ ἀναφορὰ δηλοῖ τὴν χαρὰν τοῦ Ὀδυσσέως.

[3] Ἐφανέρονεν, ἐμήνυεν.

[4] Ὁ Εὐστάθιος ἑρμηνεύει· «φανέρου, διάδηλον ποίει».

[5] Αὔτως, μάτην.

[6] Ἰσοδυναμεῖ τῇ μετοχῇ ἐπιστρεφόμενος, στρέφων πανταχόσε.

[7] Διὰ τοῦ ξίφους πληττομένων, κτυπωμένων.

[8] Ἀφυλάκτοις· αὐτὸς ὁ ποιητὴς ἑρμηνεύει τὴν λέξιν ἐν Ο 325 «σημάντορος οὐ παρέοντος».

[9] Τὸν μὲν ἔθηκεν ἐν ἀρχῇ, ἐν ᾧ ἔπρεπε νὰ εἴπῃ, υἱὸς μὲν Τυδέος... ἀτὰρ πολύμητις Ὀδυσσεύς.

[10] Δηλοῖ τὸ πολλάκις γινόμενον ἐν τῷ παρελθόντι.

[11] Λαβὼν ἀπὸ τὸν πόδα ἔσυρεν ἔξω.

[12] Διότι ἦσαν ἀσυνείθιστοι νὰ καταπατῶσι νεκρούς. Τὸ ἀηθέσσω εἶναι ἀναύξητον οὐ μόνον Ἰωνικῶς, ἀλλὰ καὶ Ἀττικῶς διὰ τὴν

ἀλλ' ὅτε δὴ βασιλῆα χιχήσατο Τυδέος υἱός,
τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα
ἀσθμαίνοντα [1]· κακὸν γὰρ ὄναρ κεφαλῇφιν ἐπέστη
[τὴν νύκτ' [2], Οἰνείδαο πάϊς, διὰ μῆτιν Ἀθήνης].
τόφρα δ' ἄρ' ὁ τλήμων [3] Ὀδυσεὺς λύε μώνυχας ἵππους,
σὺν δ' ἤειρεν [4] ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι·
ῥοίζησεν [5] δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
Αὐτὰρ ὁ μερμήριζε μένων ὅ τι κύντατον [6] ἔρδοι,
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε' ἔκειτο,
ῥυμοῦ ἐξερύοι [7], ἢ ἐκφέροι ὑψόσ' ἀείρας,
ἢ ἔτι τῶν πλεόνων [8] Θρηκῶν ἀπὸ θυμὸν ἕλοιτο.
εἶος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα δ' Ἀθήνη

χακοφωνίαν. Ἄξιον σημειώσεως, ὅτι τὸ ῥῆμα συντάσσεται πρὸς γενικήν.

[1] Ἀγωνιῶντα, κονταναισαίνοντα.

[2] Ὑπὸ τῶν Ἀλεξανδρινῶν ἀθετεῖται ὁ στίχος διὰ τήνδε τὴν αἰτίαν. «Ἀθετεῖται, ὅτι καὶ τῇ συνθέσει εὐτελής· καὶ μὴ ῥηθέντος δὲ νοεῖται ὅτι ὡς ὄναρ ἐφίσταται τῷ Ῥησῷ ὁ Διομήδης. Καὶ τὸ διὰ μῆτιν Ἀθήνης λυπεῖ· μᾶλλον γὰρ διὰ τὴν Δόλωνος ἀπαγγελίαν». Οἰνείδης εἶναι ὁ Τυδεύς.

[3] Ὁ τολμηρός, ὁ εὔτολμος, ὡς ἐν στίχ. 231.

[4] Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Συνέζευξεν αὐτοὺς τοῖς ἱμᾶσι· τουτέστι συνημμένους καὶ οὐ καθ' ἕνα ἐξέφερεν, ὡς μὴ κατ' ἰδίαν αὐτῶν εἰθισμένων ἡνιοχεῖσθαι».

[5] Ἐσύριξε κάμνων σημεῖον τοῦ ἀναχωρῆσαι. Σημειωτέον, ὅτι περιεμένομεν ῥοιζῶν ἢ ῥοιζήσας πίφαυσκε. Ὅμοιον εἶναι τὸ δ ο ύ π η σ ε π ε σ ώ ν ἀντὶ δ ο υ π ώ ν ἔ π ε σ ε ν.

[6] Τὶ τολμηρότατον ἠδύνατο νὰ πράξῃ. Τινὰ χειρόγραφα οὐχὶ κακὰ ἔχουσι κύντερον.

[7] Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Δύο εἰσὶ βουλαί, ἢ εἰς Θρᾷκας τραπῆναι ἢ τὸν δίφρον ἀφελέσθαι· τὸ δὲ περὶ τοῦ δίφρου εἰς δύο διῄρηται, ἢ ἑλκύσαι αὐτὸν ἢ βαστάσαι».

[8] Δηλαδὴ τοῦ πλήθους τῶν Θρᾳκῶν· ἄλλοι ἑρμηνεύουσι, πλειόνων ἢ τῶν τρισκαίδεκα.

ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
«Νόστου δὴ μνῆσαι, μεγαθύμου Τυδέος υἱέ,
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος [1] ἔλθῃς,
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος.»
Ὣς φάθ', ὁ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
καρπαλίμως δ' ἵππων [2] ἐπεβήσετο· κόπτε δ' Ὀδυσσεύς
τόξῳ· τοὶ δ' ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
Οὐδ' ἀλαοσκοπίην [3] εἶχ' ἀργυρότοξος Ἀπόλλων,
ὡς ἴδ' Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν [4].
τῇ κοτέων Τρώων κατεδύσετο πουλὺν ὅμιλον,
ὦρσεν δὲ Θρῃκῶν βουληφόρον Ἱπποκόωντα [5],
Ῥήσου ἀνεψιὸν ἐσθλόν. ὁ δ' ἐξ ὕπνου ἀνορούσας,
ὡς ἴδε χῶρον ἐρῆμον, ὅθ' ἕστασαν ὠκέες ἵπποι
ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσιν [6],
ὤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν [7] ἑταῖρον.
Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμός
θυνόντων [8] ἄμυδις· θηεῦντο δὲ μέρμερα ἔργα,
ὅσσ' ἄνδρες ῥέξαντες ἔβαν [9] κοίλας ἐπὶ νῆας.

[1] Φεύγων, εἰς φυγὴν τραπείς.

[2] Ὁ Διομήδης ἐπέβη τοῦ ἑνὸς τῶν ἵππων· ἐπειδὴ ὅμως οὗτοι ἦσαν συνδεδεμένοι, θεωροῦνται ὡς ἓν ὅλον. Ἀντὶ τοῦ κόπτε πλεῖστα χειρόγραφα ἔχουσι κόψε, ὅπερ προτιμᾷ ὁ Bekker μετὰ πολλῶν ἐκδοτῶν.

[3] Ματαίαν, ἠμελημένην κατασκόπευσιν.

[4] Ἀκολουθοῦσαν, ὅπερ γίνεται ἐν στίχ. 507.

[5] Ἱπποκόωντα σημαίνει τὸν ἱππογνώστην.

[6] Φονὴ εἶναι ὁ φόνος· κατὰ τὸν Doederlein ὅμως σημαίνει πληγὰς θανατηφόρους. Τὸ ὄνομα ἅπαντᾷ μόνον ἐν τῷ πληθυντικῷ ἀριθμῷ.

[7] Ἐκάλεσεν ἐξ ὀνόματος.

[8] Συντρεχόντων ὁμοῦ, σωρηδὸν ἐρχομένων.

[9] Δὲν λέγει ἔρεξαν, ἀλλὰ ῥέξαντες ἔβαν, ὅπως δηλώσῃ τὴν εὐτυχῆ ἔκβασιν τῆς ἐπιχειρήσεως.

Οἱ δ' ὅτε δὴ ῥ' ἵκανον, ὅθι σκοπὸν [1] Ἕκτορος ἔκταν,
ἔνθ' Ὀδυσεὺς μὲν ἔρυξε [2] διίφιλος ὠκέας ἵππους,
Τυδείδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
ἐν χείρεσσ' Ὀδυσῆϊ τίθει [3], ἐπεβήσετο δ' ἵππων.
μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἄκοντε πετέσθην
[νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ [4]].
Νέστωρ δὲ πρῶτός κτύπον ἄϊε [5] φώνησέν τε·
«Ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ψεύσομαι [6], ἦ ἔτυμον ἐρέω; κέλεται [7] δέ με θυμός.
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα [8] βάλλει.
αἰ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης
ὦδ' ἄφαρ ἐκ Τρώων [9] ἐλασαίατο μώνυχας ἵππους.
ἀλλ' αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
Ἀργείων ὥριστοι [10] ὑπὸ Τρώων ὀρυμαγδοῦ [11].»
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτ' ἄρ' ἦλυθον αὐτοί·

[1] Τὸν κατάσκοπον, τὸν Δόλωνα.

[2] Ἀνεχαίτισεν, ἐσταμάτησε τοὺς ἵππους.

[3] Ὁ Διομήδης ἔθηκε τὴν πανοπλίαν τοῦ Δόλωνος εἰς τὰς χεῖρας τοῦ Ὀδυσσέως· διότι μετὰ ταύτης δὲν ἠδύνατο νὰ ἐπιβῇ τοῦ ἵππου. Ὅτε δ' ἀνέβη, πάλιν ἔλαβε ταῦτα, ἵνα ὁ Ὀδυσσεὺς πλήσσῃ τοὺς ἵππους, ὅπερ παρέλειψεν ὁ ποιητής.

[4] Ἐν καλοῖς χειρογράφοις ὁ στίχος οὗτος δὲν φέρεται. Τὸ τῇ ἀναφέρεται εἰς τὸ πέτεσθαι· ἀλλ' ἐὰν ἀποδίδηται τοῦτο τῷ Διομήδῃ, εἶναι ὅλως περιττόν, ἂν δὲ τοῖς Θρᾳκικοῖς ἵπποις, παράδοξον ὄντως.

[5] Ἤσθετο, ἐκατάλαβε τὸν κρότον.

[6] Θὰ ἀπατηθῶ ἢ θὰ εἴπω τὴν ἀλήθειαν. Ἡ ἀμφιβολία ὑπάρχει οὐχὶ ὡς πρὸς τὸν κτύπον τῶν ἵππων, ἀλλὰ ὡς πρὸς τὴν ἑπομένην εὐχήν.

[7] Ἐννοεῖται τὸ εἰπεῖν.

[8] Σχῆμα καθ' ὅλον καὶ μέρος.

[9] Ἐκ τοῦ στρατοπέδου τῶν Τρώων.

[10] Τὰ χειρόγραφα ἔχουσιν οἱ ἄριστοι, ὁ Ἀρίσταρχος ὅμως ἀνεγίνωσκεν ὥριστοι καὶ ὁ Bekker, ὅπερ δέχονται πολλοὶ κριτικοί.

[11] Ὀρυμαγδὸς ἐνταῦθα εἶναι ἡ θορυβώδης καταδίωξις.

καὶ ῥ' οἱ μὲν κατέβησαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες
δεξιῇ ἡσπάζοντο [1] ἔπεστί τε μειλιχίοισιν.
πρῶτος δ' ἐξερέεινε Γερήνιος ἱππότα Νέστωρ·
«Εἶπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ὅππως τούσδ' ἵππους λάβετον· καταδύντες ὅμιλον
Τρώων; ἦ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας [2];
αἰνῶς ἀκτίνεσσιν ἐοικότες [3] ἠελίοιο.
αἰεὶ μὲν Τρώεσσ' ἐπιμίσγομαι [4], οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσί [5], γέρων περ ἐὼν πολεμιστής·
ἀλλ' οὔπω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα.
ἀλλά τιν' ὔμμ' οἴω δόμεναι θεὸν ἀντιάσαντα·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεύς
κούρη τ' αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη.»
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
«Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
ῥεῖα θεός γ' ἐθέλων [6] καὶ ἀμείνονας ἠέπερ οἵδε
ἵππους δωρήσαιτ', ἐπεὶ πολὺ φέρτεροί [7] εἰσιν.
ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες [8], οὓς ἐρεείνεις,
Θρηΐκιοι· τὸν δέ σφιν ἄνακτ' [9] ἀγαθὸς Διομήδης

[1] Ἐδεξιοῦντο.

[2] Συναντήσας. Οἱ θεοὶ ἔχουσι καλὸν γένος ἵππων. Ὅρα Ε 265.

[3] Τινὲς ἐννοοῦσι τὸ εἰσίν, ὅπερ δὲν εἶναι πιθανόν· διότι προτιμότερον εἶναι νὰ θεωρηθῇ ὡς ὀνομαστικὴ ἐπιφωνηματική, ὡς ἐν στίχ. 437. Ἐν τοῖς ἔμπροσθεν εἴρηται, ὅτι οἱ ἵπποι οὗτοι εἶναι λευκότεροι χιόνος.

[4] Ἐπὶ ἐχθρικῆς σημασίας, δηλ. μάχομαι. Ὁ Ἰξίων ἔγραφεν, ἀναμίσγομαι.

[5] Παρὰ ταῖς ναυσὶν ἔμενον οἱ δειλοί· ὅρα Β 392.

[6] Ὁ θεὸς βέβαια, ἐὰν ἐθέλῃ καὶ καλλιτέρους ἵππους ἀπὸ τούτους δύναται νὰ δωρήσῃ.

[7] Ἐκ τοῦ θεὸς πρέπει νὰ ἐννοήσωμεν τὸ ὑποκείμενον θεοί. Τινὲς νοοῦσιν οἱ ἵπποι, ὅπερ δὲν ἁρμόζει.

[8] Τὸ νεήλυδες εἶναι κατηγορούμενον, διότι ἐννοεῖται τὸ εἰσίν.

[9] Δηλαδὴ τὸν κύριον αὐτῶν.

ἔκτανε, πὰρ [1] δ' ἑτάρους δυοκαίδεκα πάντας ἀρίστους.
τὸν τρισκαιδέκατον [2] σκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα [3] στρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί.»
Ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους
καγχαλόων [4]· ἅμα δ ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί.
οἱ δ' ὅτε Τυδείδεω κλισίην εὔτυκτον ἵκοντο,
ἵππους μὲν κατέδησαν ἐϋτμήτοισιν [5] ἱμᾶσιν
φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
ἕστασαν ὠκύποδες μελιηδέα πυρὸν [6] ἔδοντες.
νηῒ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνος
θῆκ' Ὀδυσεύς, ὄφρ' ἱρὸν [7] ἑτοιμασσαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρῷ πολλὸν ἀπενίζοντο θαλάσσῃ
ἐσβάντες, κνήμας τ' ἠδὲ λόφον [8] ἀμφί τε μηρούς.
αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλὸν
νίψεν ἀπὸ χρωτός, καὶ ἀνέψυχθεν [9] φίλον ἦτορ,
ἔς ῥ' ἀσαμίνθους [10] βάντες ἐϋξέστας λούσαντο.

[1] Ἡ πρόθεσις κεῖται ἐπιρρηματικῶς.

[2] Τὸν Δόλωνα ἐπαριθμεῖ σὺν τοῖς Θρᾳξί· ἐπειδὴ δὲ εἶπε πρότερον περὶ τοῦ Ῥήσου, δὲν ἀριθμεῖ τοῦτον ἐνταῦθα. Πλανηθέντες δέ τινες τῶν ἀρχαίων ἔγραψαν τὸν τετραχαιδέκατον.

[3] Διὰ νὰ ἦναι κατάσκοπος.

[4] Κογχάζων, χασκαρίζων ἐξ ἀγαλλιάσεως διὰ τὴν καλὴν ἔκβασιν.

[5] Διὰ καλῶς τετμημένων, κεκομμένων ἱμάντων. Τοὺς ἵππους λαμβάνει ὁ Διομήδης· διότι οὗτος ἦτο ὁ ἀρχηγὸς τῆς ἐκδρομῆς.

[6] Ὅρα Θ 188.

[7] Μέχρις ὅτου ἑτοιμάσωσι τὴν θυσίαν διὰ τὴν Ἀθηνᾶν, ὡς ἐγένετο ὑπόσχεσις ἐν στίχ. 292. Κατὰ τὴν θυσίαν ταύτην ἔμελλον νὰ ἀφιερώσωσι τὰ λάφυρα τῇ θεᾷ. Τὸ ὄνομα ἀλλαχοῦ ἀπαντᾷ ἐν πληθυντικῷ ἀριθμῷ.

[8] Λόφος εἶναι ὁ αὐχήν, ὁ τράχηλος.

[9] Ἔλαβον ἀναψυχήν, ἐδροσίσθησαν.

[10] Ἀσάμινθος λέγεται ἡ σκάφη, ὁ λουτήρ.

τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ' [1] ἐλαίῳ
δείπνῳ ἐφιζανέτην [2], ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
πλείου ἀφυσσόμενοι [3] λεῖβον μελιηδέα οἶνον.

[1] Λίπα, λιπαρῶς.

[2] Τοῖς νεωτέροις φαίνεται παράδοξον, ὅτι ὁ Ὀδυσσεὺς τρὶς τρώγει κατὰ τὴν αὐτὴν νύκτα. Τὸ πρῶτον παρὰ τῷ Ἀγαμέμνονι I 90, τὸ δεύτερον παρὰ τῷ Ἀχιλλεῖ I 221 καὶ νῦν τὸ τρίτον. Ἴσως νῦν προσφέρεται καὶ ἡ θυσία τῇ Ἀθηνᾷ.

[3] Ἡ κοινὴ γραφὴ εἶναι ἀφυσσάμενοι, ἀλλ' ὁ Ἀρίσταρχος καὶ τὰ ἄριστα τῶν χειρογράφων ἔχουσιν ἀφυσσόμενοι, ὅπερ προτιμᾶται.

ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελὶς	Στίχος	Ἀντὶ	Ἀνάγνωθι
20	7	ἦ	ἦ
24	23	Εὐρίπυλος	Εὐρύπυλος
25	15	ποιτὴς	ποιητής·
30	4	Τυχίοις	Τυχίος
32	6	Οἶδ	οἶδ'
63	3	ἀστερόντος	ἀστερόεντος
65	30	συνδετικὸν	συνθετικὸν
85	10	Τελαμώνι	Τελαμῶνι
87	22	ὑπανδρευομένη	ὑπανδρευμένη
92	26	ὀρμήματα	ὁρμήματα
99	19	μὲρ	μὲν
102	2	Ὀλύμπω	Ὀλύμπῳ
112	16	ὄθεν	ὅθεν
116	1	κρυόεντες	κρυόεντος
143	13	Ἀχιλλεὸς	Ἀχιλλεὺς
166	7	ἐπιποέηκεν	ἐπιπροέηκεν
173	11	Ἡροφοῖτες	Ἡροφοῖτις
223	6	πολόμητις	πολύμητις


ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ

ΕΡΓΑ ΤΟΥ ΑΥΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ.

Ἱστορία τῶν ὁμηρικῶν ἐπῶν	Δρ.	5,00
Γοργίας Πλάτωνος	»	5,00
Ἀντιγόνη Σοφοκλέους	»	4,00
Ὁμήρου Ἰλιάδος τεῦχος πρῶτον	»	3,00
» » τεῦχος δεύτερον.....	»	2,50
Τὰ δύω ὁμοῦ εἰς ἓν σῶμα	»	5,50
Πλάτωνος Ἀπολογία Σωκράτους.....	»	3,00
Πρωταγόρας Πλάτωνος	»	4,00
Οἰδίπους τύραννος Σοφοκλέους.....	»	3,70

Τιμᾶται δραχμῶν..... 3,50.

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ